This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

NYPL RESEARCH LIBRARIES
3 3433 07437195 0

George Bancroft

ΕΥΡΙΠΙΔΟΥ ΑΠΑΝΤΑ.

EURIPIDIS

OPERA OMNIA;

EX EDITIONIBUS PRÆSTANTISSIMIS

FIDELITER RECUSA;

LATINA INTERPRETATIONE, SCHOLIIS ANTIQUIS,

ET

ERUDITORUM OBSERVATIONIBUS,

ILLUSTRATA:

NECNON

INDICIBUS OMNIGENIS

INSTRUCTA.

VOLUMEN SECUNDUM.

GLASGUÆ:

EX PRELO ACADEMICO,

CURA ET TYPIS ANDREÆ ET JOANNIS M. DUNCAN;

IMPENSIS RICARDI PRIESTLEY,

LONDINI.

1821.

ὙΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

ARGUMENTUM MATTHIÆI, E. COD. GUELPHERBYTANO.

ἉΡΠΑΣΘΕΙ΄ΣΗΣ Εὐρώπης ὑπὸ Διὸς, γενομένου ταύρου, καὶ μετακομισθείσης ἀπὸ Φοινίκης διὰ θαλάττης εἰς Κρήτην, ὁ μὲν πατὴρ αὐτῆς Ἀγήνωρ ἔπεμψε τὸν υἱὸν Κάδμον ἐπὶ ζήτησιν τῆς κόρης, εἰπὼν, εἰ μὴ ταύτην εὑρὼν ἄξοι, μήδ᾽ ἂν αὐτὸν ἐπανελθεῖν οἴκαδε. Κάδμος δὲ οὐκ ἔχων, ὅ τι δράσειε, μόνην ἔγνω τῆς ἀπορίας λύσιν καταφυγεῖν εἰς Ἀπόλλω κἀκ τούτου γνῶναι, τί δεῖ ποιεῖν. καὶ ὃς χρᾷ μὲν οὐδὲν αὐτῷ περὶ τῆς Εὐρώπης, λέγει δὲ ὡς ἐξελθόντα ἐκεῖθεν, ἀκολουθήσαντα βοῒ, οἷ ἂν αὕτη γε πέσῃ, κἀκεῖ κτίζειν πόλιν. ὁ δὲ πεισθεὶς τῷ χρησμῷ τὴν μὲν πρὸς τὴν πατρίδα ἐπάνοδον εἴασε, βοῦν δὲ κατὰ τύχην εὑρὼν ἡγεμόνα τῆς ὁδοῦ ἐποιήσατο. ἐλθούσης δὲ αὐτῆς ἐν ᾧ νῦν ἑστήκασι τόπῳ αἱ Θῆβαι, κἀκεῖ παραχρῆμα πεσούσης, ἔγνω τε οὗτος τὸν χρησμὸν τελεσφόρον, καὶ πόλιν ἑπτάπυλον κτίζει τὰς Θήβας ὁμωνύμους τῶν ἑκατονταπύλων Αἰγυπτίων Θηβῶν, χρησάμενος ἐπιστήμονι τῆς οἰκοδομῆς καὶ ἐργάτῃ Ἀμφίονι τῷ μουσικῷ· τοῦτον γάρ φασιν ἀνακρουόμενον μέλος θέλγειν τε τῷ μέλει τοὺς λίθους, καὶ ἀλλεπαλλήλως αὐτῶν τιθεμένων ἀποδεῖξαι τὰ τείχη. πύλας δὲ ἔχειν τὴν πόλιν ἑπτὰ, ἐπειδὴ καὶ οἱ τῆς λύρας τόνοι ἑπτά εἰσι. καὶ τὸ μὲν μυθῶδες τοιοῦτον· πέπλασται δὲ διὰ τὸ ἄκρως ἡρμόσθαι τὰ τείχη πρὸς ἄλληλα. ἡ γὰρ ἁρμονία μουσικῆς ἴδιον.

Κάδμος οὖν γήμας τῆς Ἀφροδίτης καὶ Ἄρεως παῖδα Ἁρμονίαν ἐγέννησε Πολύδωρον. ὁ δὲ Λάβδακον· ὁ δὲ Λάϊον. οὗτος ἀφικόμενος ποτὲ εἰς Ἦλιν καὶ τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον ἰδὼν, ὃς ἦν ἐξ ἄλλης αὐτῷ γυναικὸς καὶ οὐκ ἐκ τῆς θυγατρὸς Οἰνομάου Ἱπποδαμείας, καὶ ἁλοὺς τούτου κατάκρας τῷ ἔρωτι, ἁρπάσας εἰς Θήβας ἤνεγκε. καὶ συνῆν αὐτῷ τὰ ἐρωτικὰ, πρῶτος ἐν ἀνθρώποις τὴν ἀῤῥενοφθορίαν εὑρὼν, καθὼς δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς τὸν Γανυμήδην ἁρπάσας. ὁ δὲ Πέλοψ μαθὼν τοῦτο κατηράσατο Λαΐῳ, μηδέποτε μὲν παῖδα τεκεῖν, εἰ δ᾽ ἄρα καὶ συμβαίη, ὑπ᾽ αὐτοῦ τοῦτον ἀναιρεθήσεσθαι. διὰ ταῦτα πολὺν ἤδη χρόνον ὁ Λάϊος ἄπαις ὢν παραγίνεται εἰς Πυθίαν καὶ παίδων αἰτεῖ γονήν. καὶ ἀκούει τοιόνδε χρησμόν·

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
τέξεις μὲν φίλον υἱὸν, ἀτὰρ τόδε σοι μόρος ἔσται,

ʽΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

παιδὸς ἑοῦ χείρεσσι λιπεῖν φάος· ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.

ὡντινῶν θεσπισμάτων τῇ τῆς γυναικὸς Ἰοκάστης ἐπιθυμίᾳ καὶ ἡδονῇ ὥσπερ ἐκλαθόμενος Λάϊος, ἢ, ὥς τινές φασι, μιᾷ τῶν ἡμερῶν βαρυνθεὶς τῷ οἴνῳ καὶ συνελθὼν τῇ αὐτοῦ γυναικὶ Οἰδίποδα σπείρει. καὶ μετὰ τὸ τεχθῆναι αὐτὸν, ἀναπεμπάσας τοὺς χρησμοὺς καὶ φόβον λαβὼν, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσοῦς κρίκους διαπερονησάμενος ῥίπτει διὰ τῶν οἰκείων βουκόλων εἰς τὸ ὄρος τὸν Κιθαιρῶνα, ὡς ὑπὸ θηρίων ἐνταῦθα ἀναιρεθησόμενον. ἔτυχε δὲ κατ' ἐκεῖνο καιροῦ καὶ τοὺς Πολύβου νομέας, βασιλέως Κορίνθου, βόσκειν ἐκεῖ· οἳ καὶ τὸ βρέφος εὑρόντες καὶ ἀνελόμενοι φέρουσι πρὸς τὴν Πολύβου γυναῖκα Μερόπην. ἦν γὰρ ἀπαιδίᾳ δυστυχοῦσα· καί πως πείθει τὸν ἄνδρα Πόλυβον αὐτὴ τοῦτο τεκεῖν. ἀνδρωθεὶς δὲ ὁ παῖς καί τινι τῶν ἐκεῖ συνελθὼν εἰς ἔριν, οἷα δὴ γίνεται, ὡς οὐκ εἴη Πολύβου παῖς, ὄνειδος ἔσχε παρ' αὐτοῦ. ὅθεν ἀναστὰς ἀφικνεῖται πρὸς τὸν Ἀπόλλω πευσόμενος περὶ τούτου. καὶ, ὡς ἔσται φονεὺς τοῦ πατρὸς, μανθάνει, καὶ ὡς τῇ τεκούσῃ συνέσοιτο, ταυτὶ μόνα· τίνες δὲ εἶεν αὐτῷ οἱ γονεῖς, σαφῶς οὐ μανθάνει. ἐπανιὼν δὲ ἐκεῖθεν ὑπήντησε Λαΐῳ, ἀφικνουμένῳ καὶ αὐτῷ πρὸς Ἀπόλλω, ἐφ' ᾧ περὶ τοῦ ἐκτεθέντος παιδὸς γνῶναι, εἰ τέθνηκε. καὶ ὁ τοῦ Λαΐου θεράπων αὐτῷ κελεύει μικρὸν ὑποχωρῆσαι τῷ βασιλεῖ. Οἰδίπους δὲ ὑπεροψίᾳ κρατούμενος καὶ τοῦτο μηδὲν ἐνεγκὼν κτείνει τε τὸν θεράποντα καὶ σὺν αὐτῷ τὸν δεσπότην, οὐκ εἰδὼς ὡς πατροκτόνος γέγονεν, ἑνὸς μόνου τῶν συνεπομένων Λαΐῳ διαφυγόντος, ὃς δὴ καὶ τὸν φόνον ὕστερον διεσάφησεν, ὥς φησι Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ. τότε οὖν Οἰδίπους τοὺς τοῦ Λαΐου ἵππους λαβὼν καὶ πάντα τὰ αὐτοῦ, καταλαμβάνει τὴν Κόρινθον, καὶ διδοὺς ταῦτα πάντα Πολύβῳ τροφὰς ἐκεῖθεν ἀναχωρεῖ, τὸν περὶ τῆς πατροκτονίας καὶ τῆς τῇ μητρὶ συνελεύσεως χρησμὸν δεδιώς· ᾤετο γὰρ πατέρας αὐτοῦ τῷ ὄντι Πόλυβον καὶ τὴν ἐκείνου γυναῖκα εἶναι. καὶ ἀφικνεῖται πρὸς Θήβας, αἳ δὴ καὶ ὑπὸ τῆς Σφιγγὸς ἐχειμάζοντο τότε, χρησμούς τε ῥαψῳδούσης καὶ ὅντινα βούλοιτο τῶν πολιτῶν ἁρπαζούσης καὶ διαφθειρούσης, διὰ τὸ μὴ συνιέναι σφᾶς τῶν ὑπ' αὐτῆς λεγομένων χρησμῶν. ἐπήγαγε δὲ ταύτην ὁ Ἄρης Θηβαίοις, ἀμυνόμενος αὐτοὺς διὰ τὸν τοῦ παιδὸς δράκοντος φόνον, ὃν ὁ Κάδμος ἀνεῖλε καὶ τοὺς ὀδόντας αὐτοῦ ἔσπειρεν, ἐξ ὧν ἀνεφάνησαν οἱ Γίγαντες. ἦν δὲ τέρας ἡ Σφίγξ, πρόσωπον μὲν ἔχουσα παρθένου, στῆθος δὲ καὶ χεῖρας καὶ πόδας καὶ ὄνυχας λέοντος, οὐραίαν δὲ δράκοντος, πτερὰ δὲ ὄρνιθος, δι' ὧν ἵπτατο. ἔτυχε δὲ τοῦτο εἰποῦσα καὶ τοιοῦτό τι τοῖς Θηβαίοις τε αἴνιγμα, ὡς Ἀσκληπιάδης ἀναγράφει·

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνὴ,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.

ʽΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

ἀλλ᾽ ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα μένος γυίοισιν ἀφαυρότερον πέλει αὐτοῦ·

οὗπερ ἀγνοουμένου ἐκήρυξε Κρέων ὁ ἀδελφὸς Ἰοκάστης τῆς βασιλίσσης, ὡς, ὅστις εὕροι τὸ αἴνιγμα, τούτῳ συνάψειν τὴν ἀδελφήν. Οἰδίπους δὲ, ὡς ἔφημεν, διάγων ἐκεῖ τότε, ἀκούσας τὰ κηρύγματα λύει τε τὸ αἴνιγμα τῆς Σφιγγὸς, καὶ τὴν μητέρα οὐκ εἰδὼς εἰς γυναῖκα λαμβάνει. ἔλυσε δὲ οὕτως, ὥς φασί·

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

Ἀκούσασα δὲ τὴν λύσιν ἡ Σφὶγξ ἑαυτὴν ἀναιρεῖ παραχρῆμα ῥίψασα τοῦ ἀέρος. Οἰδίπους δὲ συνὼν τῇ μητρὶ καὶ παῖδας ἐξ αὐτῆς φύσας τέσσαρας, ἄῤῥενας μὲν Ἐτεοκλέα καὶ Πολυνείκην, θηλείας δὲ Ἀντιγόνην καὶ Ἰσμήνην, ὡς ἔγνω τὸ μίασμα ὕστερον, ἐτύφλωσεν ἑαυτόν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης, θέλοντές πως ἀφανίσαι τὸ ὄνειδος, κατακλείουσιν αὐτὸν ἐν οἰκίσκῳ, ἵν᾽ ὑπὸ μηδενὸς θεωρούμενος εἰς λήθην ἥξοι τὸ κατ᾽ ἐκείνου. καὶ ὃς τοῦτο ὑπεραλγήσας ἀρᾶται τούτοις τὴν βασιλείαν σιδήρῳ μερίσαι. οἱ δὲ τὰς τοῦ πατρὸς ἀρὰς δεδιότες μηχανῶνται τοιόνδε. ἔχεσθαι τῆς ἀρχῆς ἕνα παρ᾽ ἕνα καὶ ταύτης παραχωρεῖν θατέρῳ θάτερον. ὁ τοίνυν Ἐτεοκλῆς, ἅτε πρῶτος ὢν τοῦ ἀδελφοῦ, καὶ πρῶτος τῆς ἀρχῆς ἥψατο, Πολυνείκης δὲ ὑπεχώρησε, καὶ τελεσθέντος ἐνιαυτοῦ ἀφίκετο πρὸς τὸν ἀδελφὸν, αἰτῶν καὶ αὐτὸς ἄρξειν ἐνιαυτόν. Ἐτεοκλῆς δὲ οὔτε ἐξέστη τῆς ἀρχῆς καὶ ἄτιμον τὸν ἀδελφὸν ἀπέπεμψεν. ὃς καὶ πλανώμενος ἦλθεν εἰς Ἄργος, καὶ τὴν τοῦ βασιλέως Ἀδράστου λαβὼν θυγατέρα πείθει τὸν κηδεστὴν συνάρασθαι τούτῳ πρὸς τὴν τῆς βασιλείας ἀνάληψιν. καὶ πλείστην ὅσην παραλαβὼν στρατιὰν ἐπιστρατεύει τῷ ἀδελφῷ. ὅπως δὲ ἡ μήτηρ ἐθέλουσα πρὸ τῆς συμπλοκῆς διαλλάξαι τοὺς παῖδας οὐδὲν ἴσχυσε, καὶ ὡς ἔχρησε Τειρεσίας, εἰ ὁ Κρέοντος υἱὸς Μενοικεὺς ἀνέλοι ἑαυτὸν ἐπὶ τὸν τοῦ δράκοντος φωλεὸν, κρατήσειν Ἀργείων Θηβαίους, καὶ ὡς γέγονε ταῦτα, καὶ οἱ τῶν Ἀργείων ἡγεμόνες πεπτώκασι πάντες πλὴν Ἀδράστου, καὶ ὡς μονομαχήσαντες πρὸς ἀλλήλους Ἐτεοκλῆς καὶ Πολυνείκης ὑπ᾽ ἀλλήλω νεκάτεροι ἀνῃρέθησαν, καὶ ὡς ἐλθοῦσα πρὸς αὐτοὺς Ἰοκάστη καὶ τεθνηκότας εὑροῦσα συναπέσφαξεν ἑαυτὴν, καὶ ὡς Κρέων ἀψάμενος τῆς ἀρχῆς Ἐτεοκλῆν μὲν θάπτει, Πολυνείκην δὲ ἄταφον εἴασε, καὶ Οἰδίπουν τῆς πόλεως ἐξήλασε, πάντα ταῦτα Εὐριπίδης ἔνδον κατὰ λεπτὸν διηγεῖται. Ἔστι δὲ τὸ παρὸν δρᾶμα τῶν ἄγαν ἐξαιρέτων, διανοίαις καὶ γνώμαις πολλαῖς καὶ καλαῖς καὶ ποικίλαις ἀνθοῦν καὶ μεταχειρίσει ἀρίστῃ, καὶ διὰ πάντων ἀκμάζον, εἰ καὶ ἀπίθανον ἔχει τὴν

ʽΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

εἰς Θήβας Πολυνείκους εἴσοδον. ἐπιγέγραπται δὲ ἀπὸ τοῦ χοροῦ Εὐριπίδου Φοίνισσαι παρ᾽ ἀντιδιαστολὴν τῶν ἑπτὰ ἐπὶ Θήβας Αἰσχύλου. ταύτῃ γὰρ τῇ ὑποθέσει κἀκεῖνος χρῆται ἐν τῷ δευτέρῳ. αὐτὰς δὲ τὰς παρθένους ἐκ Φοινίκης Ἀγηνορίδαι θυσίαν τῷ Ἀπόλλωνι ἔπεμψαν, αἵτινες καὶ πρὸς Δελφοὺς ἐρχόμεναι παρέβαλον ταῖς Θήβαις διὰ τὸ καὶ τὸν Κάδμον, ὡς ἔφημεν, ἐκ Φοινίκης εἶναι. καὶ καταλαβόντος τοῦ πολέμου ἠναγκάσθησαν μένειν αὐτόθι, μέχρις ἂν ἡ μάχη λωφήσῃ.

ΕΥΡΙΠΙΔΟΥ ΦΟΙΝΙΣΣΑΙ.

ʽΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

ARGUMENTUM BECKII.

ʼΕΤΕΟΚΛΗ͂Σ, παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ, Πολυνείκην· φυγὰς δὲ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος, ἔγημεν τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου· κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν· ἡ δὲ μήτηρ αὐτοῦ, Ἰοκάστη, ἐποίησεν, αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς. δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα οὐκ ἠδύνατο πρὸς φιλίαν. Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος, Μενοικεὺς, σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα. ὁ δὲ νεανίσκος ἐβούλετο· καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε, καὶ δὴ καὶ ἔπραξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους· ἡ μεν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, ἀνεῖλεν ἑαυτήν. ὁ δὲ ταύτης ἀδελφὸς, Κρέων, παρέλαβε τὴν βασιλείαν. οἵ τε Ἀργεῖοι νικηθέντες τῇ μάχῃ, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν. Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν. Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν

ETEOCLES, accepto regno Thebarum, privat parte fratrem suum, Polynicem. Exsul ille cedens Argos, duxit filiam regis Adrasti. Cupiens autem redire in patriam, et persuaso socero, congregavit magnum exercitum contra fratrem, et ad Thebas venit: mater ejus, Jocasta, fecit eum, factis induciis,in urbem venire,et colloqui prius cum fratre de prrincipatu. Terribiliter se gerente Eteocle propter tyrannidem, mater, Jocasta, filios reconciliare non potuit. Polynices vero, tanquam ad pugnam instructus, deinde cessit ex urbe. Vaticinatur Tiresias, victoriam propositam esse Thebanis, si filius Creontis, Menœceus, Marti sacrificaretur. Creon vero se daturum filium civitati inficiatur: juvenis tamen voluit, datoque illi exsilio una cum pecuniis a patre, mortem sibi conscivit, et negotium peregit. Inde Thebani duces Argivorum interfecerunt. Eteocles vero et Polynices, singulari certamine congressi, trucidarunt se mutuo. Mater eorum inveniens mortuos filios, sibi ipsi mortem conscivit. Ejus autem frater, Creon, regnum accepit, et Argivi superati in pugna, cesserunt. Creon ægre ferens, eos, qui interfecti in bello erant sub Cadmea, noluit concedere ad sepulturam: Polynicem vero inhumatum abjecit, et Œdipum misit in exsi-

ἐφ᾽ ὧν μὲν οὐ υλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ᾽ ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ περὶ τὴν δυστυχίαν ἐλεήσας.

Περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους, ὑπὲρ τῆς πόλεως ἀποθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ᾽ ἀλλήλων. καὶ Ἰοκάστη, ἡ μήτηρ αὐτῶν, ἑαυτὴν ἀνεῖλεν ἐπὶ τοῖς παισί. καὶ οἱ ἐπὶ Θήβας στρατευόμενοι Ἀργεῖοι ἀπώλοντο· καὶ ἄταφος Πολυνείκης πρόκειται. καὶ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται, καὶ σὺν αὐτῷ ἡ θυγάτηρ, Ἀντιγόνη. Ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον, καὶ γνωμῶν πολλῶν καὶ καλῶν μεστόν. ὁ χορὸς ἐκ τῶν Φοινισσῶν παρθένων (ὅθεν καὶ τὸ δρᾶμα ἐπεκλήθη) τῶν ἐκ τῆς Παλαιτύρου.

Ἔστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλὸν τὸ δρᾶμα, ἐπεὶ καὶ παραπληρωματικόν. ἥτε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα μέρος οὐκ ἔστι δράματος, καὶ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται. ἔτι ἐπὶ πᾶσι μετ᾽ ᾠδῆς ἀδολέσχου φυγαδευόμενος ὁ Οἰδίπους, προσέῤῥιπται διακενοῦ.

lium: in aliquibus haud servans humanam legem, in aliquibus iram sequens, neque miseratus calamitatem eorum.

Plenæ sunt affectuum Phœnissæ ob res Tragicas. Mortuus enim est filius Creontis, pro civitate de muro præceps actus: mortui sunt et fratres duo mutua cæde: et mater eorum, Jocasta, seipsam interfecit super filios: et duces Argivi, qui ad Thebas duxerant exercitum, perierunt: et insepultus Polynices proponitur: et Œdipus ex patria ejicitur, et una cum eo filia, Antigone. Fabula hæc habet multas personas, et plena est multis ac præstantibus sententiis. Chorus constat ex Phœnissis mulieribus, (unde et fabulæ nomen) de veteri Tyro oriundis.

Hoc Poëma pulchrum est in apparatu scenico, quia multa habet additamenta. Antigone de mœnibus spectans non est pars fabulæ; et factis induciis, Polynices frustra in urbem venit. Super hæc omnia Œdipus loquaci carmine in exsilium missus, adjicitur supervacue.

VARR. LECTT. CODD. ET BR.

In Argum. l. 1. 2. Cod. D. τὸν ἀδελφὸν Πολ. ἀποστερεῖ τοῦ μέρους. Brunck. αὐτοῦ omisit L. 2. εἰς Ἄργος παρεγένετο καὶ ἔγημαι (sic) θυγατέρα——κατῆλθε δὲ—φίλοτ. τὸν πενθερὸν πείσας στρατιὰν ἀξιόχρεων συναθροῖσαι ἐπὶ τὰς Θήβας, seqq. omissis D. Etiam Br. habet: συνήθρ. ἀξιόχρεων στρατὸν ἐπὶ Θήβας κατὰ τοῦ ἀδελφοῦ. ἡ δὲ μήτηρ—Lin. 5. ἡ δὲ μήτηρ αὐτοῦ ἔπειθεν αὐτὸν ὑποσπ. παραγινέσθαι, δεινοπρ. δὲ τῆς τυρ. Ἐτεοκλ. ἡ μὲν Ἰ. τὰ τέκνα συναγ. εἰς φιλίαν οὐκ ἠδύνατο, Πολυνείκης ὑποταξάμενος ἐχωρίσθη. Τειρεσίας δὲ ἔχρησε νικήσειν τοὺς ἐκ τῆς πόλεως, ἐὰν ὁ Κρέοντος υἱὸς, Μεν. σ. Α. γ. ὁ μὲν οὖν νεανίσκος ἐβούλετο, καὶ τοῦ πατρὸς φυγὴν μ. χρ. δίδ. ἑ. ἔσφαξε. Θηβ. δὲ—ἔσφ.—ἀλλήλους ἀνειλον.—αὐτῶν νεκροὺς εὑροῦσα τ. ὑ. ἑαυτὴν κατέσφαξεν.—παρέλαβε τὴν δυναστείαν. οἱ δὲ Ἀργεῖοι τῇ μάχῃ ἡττηθέντες—εἰς ταφὴν οὐκ ἔδωκε—ἀκηδέστον ἐῤῥ. Οἰδίποδα δὲ φ. τῆς πόλεως ἀπεπέμψατο—φυλάξας ἀνθρώπων νόμους—τὴν ὀργὴν ποιήσας, οὐδὲ παρὰ (sic et Br. pro περὶ) τὴν δυστυχίαν ἐλεήσας. A. D. Reliqua codex hic omittit. L. 8. s. Brunck. edidit: ὡς πρὸς πολέμιον παραταξάμενος. L. 11. idem habet: καὶ τοῦ πατρὸς αὐτῷ φυγὴν κ. τ. λ. L. 19. οὐ ante φυλάξας ed Brunck. omittit L. 24. στρατευσάμενοι Ἀγρ. Br. L. 26. πολλῶν μεστὸν καὶ καλῶν. Br. Sequentia ὁ χορὸς—Παλαιτ. signis parentheseos inclusit L. 31. Post παραγίνεται ed. Br. ὅ τε ἐπὶ πᾶσι—et articulus ὁ ante Οἰδίπους omittitur.

Χρησμὸς δοθεὶς Λαΐῳ τῷ Θηβαίῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν. ἀτάρ σε πεπρωμένον ἐστὶ
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ' ηὔξατό σοι τάδε πάντα.

Oraculum editum Laio Thebano, Jos. Barnes. interprete.

Laïe Labdacide, sobolem mea numina poscis :
Et tibi ferre marem dabimus : sed fata deorum
Illius voluere manu te occumbere leto.
Annuit hæc etenim Pelopi Saturnius olim ;
Cum raptum ob natum est tibi tristia damna precatus.

Χρησμὸς δοθεὶς τῷ Οἰδιπόδι ἐκ τῶν Θηβαϊκῶν.

Οἰδιπόδη, γένος ἦλθες ἀγακλυτὸν ἔνθα δαῆναι.
Αὐτὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
Φεῦγε πάτρην, Κακόμοιρε, γενέθλια δ' ἔρκε' ἄτιζε,
Μὴ πατέρα κτείνῃς, σπείρῃς δ' ὑπὸ μητέρι τέκνα,
Οἵ τ' αὐτῷ μέγα πῆμα, τέκεσσί τε σοῖσι γένηαι·
Τοῖά σ' ἀποπροφυγεῖν ἐντέλλομαι, ὣς γὰρ ἄμεινον.

Oraculum Œdipo datum, ex Thebaicis, J. B. interprete.

Venisti, Œdipode, huc, genus ut tibi nobile pandam :
At tibi quæ dicam, memori, tu mente recondas.
Infelix, natale solum patriamque relinque,
Ne patrem occidas, matrisque cubilia scandas ;
Damnaque magna tuo capiti natisque reponas :
Hæc vitare velis moneo, tua commoda spectans.

Τὸ αἴνιγμα τῆς Σφιγγός.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνὴ,
Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Ænigma Sphingis, J. B. interprete.

Est bipes, in terris et quadrupes (unica cui vox)
Et tripes, at forma magis est variabile cunctis,
Quæ terram Tethynve colunt, vel in æthera surgunt,
At plura in terram quando vestigia figat,
Semper ei minus in membris vigor igneus ardet,

Λύσις τοῦ Αἰνίγματος ἐκ τῶν Θηβαϊκῶν.

Ἄνθρωπον δ' ἀνέφηνε τόδ' ἔμμεναι, ὃς κατὰ πρώτην
Νηπιέην βαθμοῦ πειρώμενος [illegible] ἐρείσει
Τετράβατον, χείρεσσιν ὁμοῦ καὶ γούνασιν ἕρπων·
Πλειότερον δὲ λαβὼν μελέων σθένος, ὀρθὸς ὁδεύει
Ταρσοῖς ἀσφαλέεσσι· μολὼν δ' ἐπὶ γῆρας ἀβληχρὸν
Βάκτρῳ σκιμπτόμενος τριπλοῦν πόδα νωθρὸς ἐπείγει.

Solutio Ænigmat. ex Thebaicis, i. e. Poëmate ita dict. J. B.

Hoc ænigma hominem signat, qui primus in auras
Ut venit, gressus avidus, vestigia ponit
Quatuor in terram, manibus pedibusque tenellis:
Auctior at membris cum sit vigor, arduus ille
Incedit pedibus, sed tandem, urgente senecta
Innixus baculo triplici pede tardior ibit.

Ἄλλη Λύσις τοῦ αἰνίγματος.

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
Φωνῆς ἡμετέρης. σοὶ τέλος ἀμπλακίης·
Ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
Πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων.
Γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
Αὐχένα φορτίζων γήραϊ καμπτόμενος.

Alia solutio Ænigmatis ab eodem.

Audi invita licet, volueris mala, Musa sitorum,
Verba mea, exitio verba futura tibi.
Humanum genus ore notas! Homo primus in orbem
Ut venit, pedibus quattuor urget humum.
At tribus ille senex pedibus vestigia firmat,
Cervicemque jugo curva senecta premit.

‘ΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

ARGUMENTUM PORSONI.

’ΕΤΕΟΚΛΗ͂Σ παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην· φυγὰς δ’ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος ἔγημε τὴν θυγατέρα τοῦ Βασιλέως Ἀδράστου· κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόχρεων στρατὸν ἐπὶ Θήβας κατὰ τοῦ ἀδελφοῦ. ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη ἐποίησεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα εἰς φιλίαν οὐκ ἐδύνατο. Πολυνείκης δὲ ὡς πρὸς πολέμιον παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα· ὁ δὲ νεανίσκος ἐβούλετο, καὶ, τοῦ πατρὸς αὐτῷ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔκτειναν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, ἀνεῖλεν ἑαυτήν· ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν. οἱ δὲ Ἀργεῖοι νικηθέντες τῇ μάχῃ ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν· Πολυνείκην δὲ ἀκήδευτον ἔῤῥιψεν· Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ’ ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ’ ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας.

Χρησμὸς δοθεὶς Λαΐῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν· ἀτὰρ σε πεπρωμένον ἐστὶ,
Παιδὸς ἑοῦ χείρεσσι λιπεῖν φάος· ὧς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν· ὁ δ’ ηὔξατό σοι τάδε πάντα.

Τὸ τῆς Σφιγγὸς αἴνιγμα.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τέτραπον, οὗ μία φωνὴ,
Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ’ ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ’ αἰθέρα καὶ κατὰ πόντον.
Ἀλλ’ ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΟΚΑΣΤΗ.	JOCASTA.
ΠΑΙΔΑΓΩΓΟΣ.	PÆDAGOGUS.
ΑΝΤΙΓΟΝΗ.	ANTIGONE.
ΧΟΡΟΣ ἐκ Φοινισσῶν παρθένων.	CHORUS ex Phœnissis virginibus.
ΠΟΛΥΝΕΙΚΗΣ.	POLYNICES.
ΕΤΕΟΚΛΗΣ.	ETEOCLES.
ΚΡΕΩΝ.	CREON.
ΜΕΝΟΙΚΕΥΣ.	MENŒCEUS.
ΤΕΙΡΕΣΙΑΣ.	TIRESIAS.
ΑΓΓΕΛΟΣ.	NUNCIUS.
Ἕτερος ΑΓΓΕΛΟΣ.	Alter NUNCIUS.
ΟΙΔΙΠΟΥΣ.	ŒDIPUS.
Προλογίζει δὲ ἡ Ἰοκάστη.	Prologum autem agit Jocasta.

ΕΥΡΙΠΙΔΟΥ ΦΟΙΝΙΣΣΑΙ.

ARGUMENTUM ACTUS PRIMI.

Jocasta Prologum agens totius Fabulæ occasionem explicat: Quæ ortum habuit ab incestu Œdipi et parricidio et exsecrationibus, quibus filios suos, Polynicem et Eteoclem devoverat. Unde Polynices, parte sua regni paterni fraudatus, Argivorum exercitum contra Thebas duxit, ut, ubi jus non valuerit, arma causam agerent. Exercitus Argivi duces et apparatus, ad spectatorum animos excitandos. Chorus Phœnissarum mulierum sui adventus causam explicat, et præsentia pericula detestatur, futuram cladem præsagiendo.

ΙΟΚΑΣΤΗ.

Ὦ Τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν,

JOCASTA.

O Qui secas viam cœli per constellationes,

S. 1. Ὦ τὴν ἐν ἄστροις] Ἡ εἴσθεσις τοῦ δράματος, ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πζ΄, ὧν τελευταῖος, "Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθιστάναι." ἐπὶ τῷ τέλει δὲ κορωνίς. Ὦ τὴν ἐν ἄστροις] Ταῦτα πάντα πρὸς τὸν Ἥλιον ἀποτείνει Ἰοκάστη, δυσχεραίνουσα διὰ τὰ συμβάντα. Ὦ τὴν ἐν ἄστροις] Ἔθος ἔχουσιν οἱ Τραγικοὶ παρέχειν τοὺς ἥρωας θεοῖς τὰς συμφορὰς ἀπολοφυρομένους, ὡς καὶ ἐν Μηδείᾳ, "Ὥσθ' ἵμερός μ' ὑπῆλθε, γῇ τε κοὐρανῷ Λέξαι, μολούσῃ δεῦρο, * Μηδείας τύχας." Ἄλλως. Παλαιά τις φέρεται δόξα, ὡς Σοφοκλῆς μὲν ἐπιτιμήσειεν Εὐριπίδῃ, † ὅτι μὴ προέταξε τούτους τοὺς δύο στίχους, ὁ δὲ Εὐριπίδης, ὅτι μὴ προέταξεν ἐν Ἠλέκτρᾳ ὁ Σοφοκλῆς, "Ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτέ." Ὦ τὴν ἐν ἄστροις] Ὦ διοδεύων τοῦ οὐρανοῦ τὴν ὁδὸν τὴν παρὰ τοῖς ἄστροις, ὅ ἐστι τὴν παρὰ τοῖς οἴκοις τοῦ ζῳδιακοῦ κύκλου, ὅτι γὰρ Ἄστρα φησὶ τοὺς οἴκους τοῦ ζῳδιακοῦ κύκλου. Ἄρατος εἴρηκεν, "——— αὐτὰρ ἑκάστη Ἴση μετρηθεῖσα δύω ‡ περιτέμνεται ἄστρα· Ζῳΐδιον δέ ἑ κύκλον ἐπίκλησιν καλέουσι."

* Μηδείας τύχας] Sic Barn. reposuit pro δεσπότῃ τ. e Med. 57. in August. cod. Schol. est δεσποίνης τύχας. *Valck.*

† Cod. Aug. sic scribit: ὅτι μὴ προσέταξεν Εὐριπίδης τοὺς δύο τούτους στίχους. ὁ Εὐριπίδης ὅτι μὴ προσέταξεν Ἠλέκτραν ὁ Σοφοκλῆς. Vulgatis, si μὴ abjiciatur, sensus inerit commodus: *Valck.*

‡ Περιτέμνεται οἴκους *B.*] Περ. ἄστρα V. et M. ut ap. Aratum. Sed Arnald. Lect. gr. p. 163. malebat ex Schol. corrigere Aratum. In cod. Aug. locus Arati sic exhibetur: αὐτὰρ ἑκάστη ἴση μ. περιτέμνεται ἄστρα. ζῳδίου δὲ ἐκύκλον ἐπίκλησιν καλέουσιν. *Beck.*

1. ἐν ἄστροις] Recte Musgravius cum Scholiaste interpretatur, *per signa zodiaci.* Eustath. ad Il. Δ. p. 446. ult. (339, 51.) Εὐριπίδης τὸν ἥλιον τὴν ἐν ἄστροις οὐρανοῦ τέμνειν ἔφη ὁδὸν, τὴν διὰ τῶν ζῳδίων οὕτω κίνησιν φράζων. Hunc locum imitatur ipse Euripides in epigrammate apud Athenæum II. p. 61. B. ὦ τὸν ἀγήραντον πόλον αἰθέρος, ἥλιε, τέμνων, Ἆρ' εἶδες τοιόνδ' ὄμματι πρόσθε πάθος; Theodectes Bellerophonte

Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις,
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,
Ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέραι

Et in aurea sedes rheda,
Sol, volvens flammam celeribus equis:
Quam infelicem Thebanis eo tum die

P. κατὰ τὴν τότ' ἡμέραν, ἡνίκα ὁ Κάδμος ἔμολε εἰς τήνδε τὴν γῆν, ἐφῆκας εἰς Θήβας, ἤγουν ἐπάνω τῶν Θηβῶν ἀφῆκας. Cod. D.

S. "Ἄλλως. Ἐπειδὴ κυκλοτερὴς ὁ οὐρανὸς, ἢ ἐπεὶ ἑλικοειδὴς ὁ ζωδιακὸς κύκλος, καθ' ὃν "φέρεται ὁ ἥλιος." 3. Θοαῖς ἵπποισι] Λείπει ἡ σύν. ἵν' ᾖ, σὺν θοαῖς ἵπποισι. καὶ Ὅμηρος, "Αὐτῇ κεν γαίῃ ἐρύσαιμ' ——" καὶ * ἐν Βάκχαις, "Αὐτῇσιν ἐλάταις." καὶ ἐν Ἱππολύτῳ (v. 1179.) "Αὐτῇσιν ἀρβύλῃσιν ἁρμόσας πόδα." καὶ ἔστιν Ἀττικὴ ἡ συνήθεια. ἔδει δὲ ἐκ τοῦ ἐπικρατοῦντος ἀρσενικῶς αὐτοὺς ὀνομάσαι. τέσσαρές δὲ εἰσὶ, Χρόνος, † Αἰθὼ, Ἀστραπὴ, Βροντὴ, [ἄλλοι δὲ φασὶν, ὡς δύο, Λάμπαν, καὶ Φαέθων.] ἔθος δὲ τοῖς ποιηταῖς θηλυκῶς λέγειν τὰς ἵππους, Σώφρονι, τὰν ἵππον. καὶ ἐν Ἱππολύτῳ, "Αἴδ' ἐνδακοῦσαι στόμια." καὶ παρ' Ὁμήρῳ, "Αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι." Iliad. Ψ. 376. 4. Ὡς δυστυχῆ] Ἀσεβεῖ, φασὶ, τὴν ἀκτῖνα τοῦ Ἡλίου δυστυχῆ καλῶν. πῶς δὲ ἀσεβεῖ, ὁπότε καὶ Ἡσίοδος τινὰς τῶν ἡμερῶν ἀποφαίνει πονηράς; Ἄλλως. Οἱ κακοδαιμονοῦντες, καὶ τὰς πρώην εὐδαιμονίας ἀτυχίας νομίζουσι, τῇ παρούσῃ δυσποτμίᾳ βαρυνόμενοι. Ὡς δυστυχῆ] ‡ Καὶ μὴν τότε εὐδαίμονες ἦσαν αἱ Θῆβαι, διά τε τὸν Ἁρμονιακὸν γάμον, ἐν ᾧ οἱ θεοὶ ἐστιάθησαν, καὶ τὴν Διονύσου καὶ Ἡρακλέους γένεσιν. νοσεῖν δὲ ἤρξατο, ἐξ οὗ ἐτεκνώθη Λάϊος βίᾳ θεῶν. τὰ τοιαῦτα δ' οὐ πρὸς τὸ ἀληθὲς, ἀλλ' ὡς οἱ λέγοντες πάθους ἔχουσιν· Εὐεπίφορος δὲ ὁ Εὐριπίδης πρὸς ἕτερα πρόσωπα πρεσβύτερα τὴν τῶν δυστυχημάτων αἰτίαν ἀναφέρει. καὶ ἐν Τρῳάσιν (v. 925.) ἡ Ἑλένη φησὶν, "Πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν, Πάριν τεκοῦσα. ——" καὶ ἐν Ὀρέστῃ, (v. 578.) "Σύ τοι, φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν, Ἀπώλεσάς με. ——" κέχρηται τούτῳ τῷ εἴδει καὶ Ὅμηρος, "Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐίσας, Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο." καὶ Εὔμαιος συμπαθῶς ἔχων πρὸς τὸν Ὀδυσσέα φησὶν, "—— ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι." καί τοι τῶν ἀδελφῶν αὐτῆς τῶν Διοσκούρων ἤδη θεῶν ὄντων, καὶ πολλὰ τοῖς ἀνθρώποις ἐπαρκούντων. Ἔτι δέ τινες ἐγκαλοῦσι τῷ Εὐριπίδῃ, ὡς οὐκ ἀκολούθως γενεαλογήσαντι. εἰ μὲν γὰρ ἐξ ἀρχῆς ἐβούλετο τὰ πράγματα λέγειν, ἐχρῆν τὴν ἐκ Φοινίκης ‖ αἰτίαν τοῦ Κάδμου κατὰ λεπτὸν μετὰ τῆς αἰτίας διηγήσασθαι· εἰ δὲ ἐκ τῆς ὑπογύου ἀρχῆς, ἔδει ἀπὸ τῶν Λαΐου δυστυχημάτων ἄρξασθαι· πρὸς οὓς ῥητέον, ὅτι εἰ μὲν ἄνωθεν ἤρξατο, μακρὸς ἂν ἦν ὁ λόγος· ἄλλως τε οὐκ ἔπρεπε Θηβαίαν γυναίκα ἀκριβῶς τὰ ἐν Φοινίκῃ ἐπίστασθαι· εἰ δὲ ἀπὸ τῶν Λαΐου δυστυχημάτων, πολλὰς ἂν τῶν περὶ τὰς Θήβας συμφορῶν παρέλιπεν. Ἀκταίωνα μὲν γὰρ αἱ οἰκεῖαι κύνες διεσπάσαντο, Πενθέα τε § τὸν υἱὸν Ἀγαυῆς, Σεμέλην τε ἐκεραύνωσεν ὁ Ζεὺς καὶ τῆς Ἰνοῦς υἱὸν Λέαρχον μὲν μανεὶς ὁ πατὴρ Ἀθάμας ἀπέκτεινε. Μελικέρτης δὲ, μετὰ τῆς μητρὸς, ἔπεσεν εἰς τὴν θάλασσαν· οἱ Νιόβης τε παῖδες ἐτοξεύθησαν, καὶ αὕτη λίθος ὁρᾶται δακρύων. Ὡς δυστυχῆ] Δυστυχῆ ἀκτῖνα λέγει, οὐ δι' ἑαυτὴν, ἀλλὰ

* Ἐν Βάκχαις—] Hæc in Bacchis non exstant, nisi forte lecta fuerunt v. 746. ut putat Valck. *Beck.*

† Αἰθὼ] Spanh. ad Callim. Del. 169. Cer. 67. corrigit Αἴθων, Valck. mavult: Ἠῷος, Αἴθοψ, Ἀστρ. Βρ. ex Hygin. fab. 183. Post Βροντὴ sequitur: [ἄλλοι δέ φασιν, ὡς δύο, Λάμπων καὶ Φαέθων.] quæ verba debentur Kingio, forte e cod. Cantabr. sumpta. *Beck.*

‡ Καὶ μὴν τότε—] In cod. August. hæc ita junguntur præcedentibus: Οἱ κακοδαιμονοῦντες καὶ τὰς πρώην εὐτυχίας ἀτυχίας νομίζουσι, τῇ παρούσῃ δυσποτμίᾳ βαρυνόμενοι· καὶ μὴν τότε εὐδαίμονες ἦσαν, διά τε τὸν Ἁρμονίας γάμον, ἐν ᾧ θεοὶ ἠσθιάσθησαν—πάθους ἔχουσιν. Sequentia ab Εὐεπίφορος usque ad vocem δακρύων desunt in Aug. *Beck.*

‖ Αἰτίαν τοῦ Κάδμου] Corrige ἀποικίαν τ. Κ. *Valck.*

§ Valck. conjicit τ. υἱ. Ἀγαυὴ, nempe διεσπάσατο. *Beck.*

apud Stobæum X. p. 126. (67. Grot.) ὦ καλλιφεγγῆ λαμπάδ' εἱλίσσων φλογὸς Ἥλιε, ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας, Εἶδές τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν Ἐλθόντ' ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν; Vertit Accius apud Appuleium Florid. p. 348. ed Elmenhorst. Priscian. de Vers. Com. p. 1325. *Sol qui micantem candido curru atque equis Flammam citatis fervido ardore explicas: Quidnam tam adverso augurio*

'Ακτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν
Τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα·
Ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ,

Radium immisisti, quando Cadmus venit in terram
Hanc, relinquens Phœniciam terram mari cinctam.
Qui quondam ducens Harmoniam filiam Veneris,

S. διότι ἐν αὐτῇ ἐγένετο ἡ ἀρχὴ καὶ αἰτία τῆς δυστυχίας αὐτῶν. 5. Κάδμος ἡνίκ' ἦλθε] Λιβύης, τῆς Ἐπάφου καὶ Ποσειδῶνος, Ἀγήνωρ, καὶ Βῆλος· Ἀγήνορος δὲ καὶ * Ἀντιόπης τῆς Βήλου, Κάδμος, Κίλιξ, Φοῖνιξ, ἀφ' οὗ οἱ Φοίνικες. Φοίνικος καὶ Τηλέφης τῆς Ἐπιμεδούσης, Πείρως, Ἀστυπάλη, Εὐρώπεια, Φοινίκη. ἔνιοι δὲ ἀντὶ τῆς Ἁρμονίας Ἠλέκτραν γῆμαι αὐτὸν φασί. Κάδμος] Ἀγήνορος θυγάτηρ Εὐρώπη, ἣν λαβὼν Ζεὺς εἰς Κρήτην ἀγνοίᾳ τοῦ πατρὸς ἤγαγεν· ὁ δὲ περιήρχετο ζητῶν· καὶ τοὺς υἱοὺς αὐτοῦ, Κάδμον, Θάσον, Κίλικα, καὶ Φινέα ἀπέστειλε ψηλαφήσαντας μαθεῖν. Κάδμος οὖν τὸν χρησμὸν λαβὼν εἰς τὸ Ἀπόλλωνος ἱερὸν, ἐτάχθη δάμαλιν λαβεῖν, καὶ ἀπερχόμενον ἐλαύνειν ἔμπροσθεν, καὶ, ὅπου κλιθεῖσα ἡ δάμαλις πέσῃ, κτίσαι πόλιν. κτίζει οὖν Θήβας. καὶ τὸν δράκοντα ἀναιρεῖ, σπείρας τοὺς ὀδόντας αὐτοῦ· ἐξ ὧν ἀνεφύησαν οἱ γίγαντες. 6. Φοίνισσαν ἐναλίαν χθόνα] Εἰ μὲν ἐπὶ πάσης τῆς Φοινίκης ἀκουστέον, ἀντὶ τοῦ παραλίαν· εἰ δ' ἐπὶ μιᾶς πόλεως, ἐκδεκτέον τὴν Τύρον· νησιάζεται γὰρ, ὡς καὶ ἑξῆς φησι, "Τύριον οἶδμα λιποῦσ', ἔβαν Ἀκροθίνια Λοξίᾳ Φοινίσσας ἀπὸ νάσου." τουτέστι τῆς Φοινίκης νήσου Τύρου, καὶ "Κάδμος ἔμολε τάνδε γᾶν Τύριος." Ἄλλως. Τὴν Τύρον. νησιάζεται γὰρ [† ἡ Φοινίκη.] Προληπτικὸς δὲ ὁ λόγος. οὐδέπω γὰρ ἐκαλεῖτο Φοινίκη· ἐν γοῦν τῷ Φρίξῳ φησὶν, ἦσαν γὰρ Ἀγήνορος παῖδες "Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται· Φοῖνιξ, ὅθεν περ τοὔνομ' ἡ χώρα φέρει, Καὶ Θάσος.——" τοῦτον οἱ ποιηταὶ Πίνακον καλοῦσι, Πολύδωρον δὲ, διὰ τὸ πολλὰ δῶρα εἰληφέναι τὴν μητέρα αὐτοῦ ἐπὶ τῇ γεννήσει αὐτοῦ. γενεαλογήσας δὲ ἕως Λαΐου, ἐκτρέχει ‡ πρὸς Κρέοντα καὶ Ἰοκάστην. 7. Παῖδα γήμας Κύπριδος] || Δέρκυλλος, Θηβαίου τινὸς, Δράκοντος τοὔνομα, βασιλέως δὲ Θηβαίων, θυγατέρα τὴν Ἁρμονίαν εἶναι φησίν. ὃν φονεύσας Κάδμος ἔγημεν Ἁρμονίαν. Ἔφορος δὲ, § Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὴν εἶναι λέγει, Κάδμον δὲ παραπλέοντα τὴν Σαμοθράκην, ἁρπάσαι αὐτήν· τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ὀνομάσαι τὰς Ἠλέκτρας πύλας, καὶ νῦν ἔτι ἐν τῇ Σαμοθράκῃ ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς. Δημαγόρας δὲ, ἀπὸ Λιβύης ἐλθοῦσαν τὴν Ἠλέκτραν οἰκῆσαι τὴν Σαμοθράκην, ἔνθα συγγενομένη Διῒ ἔτεκεν ** Ἡμιθέαν, Δάρδανον, Ἁρμονίαν· τὸν δὲ Κάδμον παραπλέοντα μετὰ Θάσου, ἐπὶ ζήτησιν τῆς ἀδελφῆς, μυηθῆναί τε, καὶ μυούμενον ἰδεῖν τὴν Ἁρμονίαν· προνοίᾳ δὲ Ἀθηνᾶς, ἁρπάσαι αὐτήν. †† ἔνιοι τὴν Ἠλέκτραν τὴν

* Pro Ἀντιόπης τῆς Βήλου Valck. reponi jubet Ἀργιόπης τῆς Νείλου. Pro Τηλέφης olim male erat Τηλέφου. Τηλέφης etiam cod. Aug. et pro Πείρως præbet Παῖσις. *Beck.*

† Verba ἡ Φοινίκη post νησιάζεται γὰρ delenda monuit Hemsterh. ad Luc. T. I. p. 87. et uncis incluserunt Valck. et M. In Cod. Aug. est: τὴν Τύρον γὰρ νησιάζεται ἡ Φοινίκη. *Beck.*

‡ Πρὸς Κρέοντα καὶ Ἰοκάστην] Πρὸς a Barn. profectum, εἰς mavult. Valck. Hæc ultima adnotatio in Schol. pertinet ad v. 10. In cod. Aug. ita: Ἐγὼ δὲ παῖς] γενεαλογήσας ἕως Λαΐου ἀνατρέχει εἰς τοὺς . . . . καὶ Ἰοκάστης. Lacunam ita suppleri posse monet Valck. εἰς τοὺς γονεῖς Κρέοντος καὶ Ἰοκάστης, vel εἰς τοὺς περὶ Κρέοντα καὶ Ἰοκάστην. *Beck.*

|| Δέρκυλλος etc.] Valck. partim e cod. Aug. partim e conjectura legi vult: Δέρκυλλος μὲν Θηβαίου τινὸς, Δράκοντος τοὔνομα, Ἄρεως υἱοῦ, βασιλέως δὲ Θηβαίων. φησὶν εἶναι τὴν Ἁρμονίαν θυγατέρα. *Beck.*

§ Ἠλέκτρας τῆς Ἄτλ.] Male Aug. Ἠλέκτραν τὴν Ἀ. Δημαγόρας δὲ] Aug. Δ. δὲ καί. Mox pro ἔτεκεν idem cod. legit ἐτέκνωσεν, sed Valck. conjicit: ἔνθα συγγενομένην Διῒ τεκεῖν. *Beck.*

** Ἡμιθέαν] Valck. corrigit Ἡσιόνα. *Beck.*

†† Sic correxit V. nam olim loco non suo ita scripta erant hæc verba: ἔνιοι Ἁρμονίαν

et inimico omine Thebis, radiatum lumen ostendis tuum? Quin et Miltonus nostras, cum nondum epos, sed drama meditabatur, fabulam suam a Satana Solem alloquente ordiri instituerat. *Por.*

Qui veterum initium Phœn. vel laudaverint vel imitando expresserint, multos affert Valck. Accius in Apulei. Flor. p. 343. ita vertit: *Sol, qui micantem candido curru atque equis flammam citatis fervido*

Πολύδωρον ἐξέφυσε· τοῦ δὲ Λάβδακον
Φῦναι λέγουσιν, ἐκ δὲ τοῦδε Λάϊον.
Ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
Κρέων τ᾽ ἀδελφὸς μητρὸς ἐκ μιᾶς ἔφυ·
Καλοῦσι δ᾽ Ἰοκάστην με, τοῦτο γὰρ πατὴρ

Polydorum genuit: ex hoc Labdacum
Dicunt natum; ex eo vero Laïum.
Ego vero vocor filia Menœcei:
Et Creon frater natus est ex eadem matre.
Vocant vero Jocastem, (hoc enim nomen pater

8. Ἄτλαντος αὐτὸν, οὐ τὴν Ἁρμονίαν λέγουσι γεγαμηκέναι. * 12. Καλοῦσι δ᾽ Ἰοκάστην με] Ἀσφαλίζεται τὴν ὀνομασίαν τῆς Ἡρωΐνης, ἐπεὶ οἱ παλαιότεροι Ἐπικάστην καλοῦσιν, καὶ Ὅμηρος, "Μητέρα δ᾽ Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην." Od. Λ. 270. 13. Γαμεῖ δὲ Λάϊος] Ἐπιμενίδης Εὐρύκλειαν τὴν Ἔκφαντος φησὶν αὐτὸν γεγαμηκέναι, ἐξ ἧς εἶναι τὸν Οἰδίποδα. οἱ δὲ δύο τὸν Λάϊον φασὶ γῆμαι γυναῖκας, Εὐρύκλειαν, καὶ Ἐπικάστην. καὶ τὸν

τὴν Ἠλέκτραν α. οὐ τὴν Ἄτλαντος λ. γ. In cod. Aug. est: Ἐκ δὲ τοῦδε Λάϊος: ἔνια Ἁρμονίαν λέγουσιν αὐτὸν τὴν Ἠλέκτρας γεγαμηκέναι. *Beck.*

* Pro hoc Schol. King. dederat e cod. Bar. hæc: Οὐ μόνον Ἰοκάστην ταύτην καλοῦσιν, ἀλλὰ καὶ Ἐπικάστην, ὡς ἔχει τὸ Ὁμηρικόν. Cæterum Valck. ante καλοῦσιν addi vult αὐτήν.

ardore explicas, Quidnam tam adverso augurio et inimico omine Thebis radiatum lumen ostendis tuum? Beck.

Ἐν ἄστροις] Suidas: ἀστὴρ ἄστρου διαφέρει. ὁ μὲν ἀστὴρ ἕν τι ἐστι· τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν, ὃ καὶ ἀστροθέτημα καλεῖται. Quare την ἐν ἄστροις ὁδὸν verti debet *viam per constellationes*, i. e. per Zodiacum. Nec aliter Scholiastes. *Musg.*

2. χρυσεα. — Gl. Cod. D. ἐκ χρυσοῦ ἡρμοσμένῳ ἤγουν χρυσοειδεῖ ἐπιβεβηκὼς ἅρματι. *Beck.*

3. ἑλίσσων Ald. contra metrum, quod plures servant MSS. Utrumque pro libitu usurpant Tragici, sed εἰναλίαν pro ἐναλίαν nunquam extra choros, licet illud mox dent MSS. quidam, ab Aldo in hac parte dissentientes. Infra 241. ubi MSS. variant, Aldi lectionem retinui. Contra 1202. ubi Aldus ἑλίσσετ᾽, ibi membr. M. R. εἱλίσσετ᾽, ut bene edidit Musgravius. *Por.*

εἱλίσσων D. cum. gl. στρέφων, περιφέρων τὰς ἀκτῖνας. *Beck.*

4, ὡς] Gl. Cod. D. λίαν.

5. In fine hujus versus Aldus addit θεῶν, quæ vox unde irrepserit, nescio. Alibi tamen eam abundare vidi. In fragmento Pirithoi, ubi vulgo legitur, Σὲ τὸν αὐτοφυῆ, τὸν ἐν αἰθερίῳ Ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ᾽, habet σὲ τὸν αὐτοφυῆ πάντων θεῶν αἰθέρα ῥόμβῳ Scholiastes Apollonii Rhodii IV. 144. Ex Hippolyto 1126. θεᾶς recte ejecit Brunckius; quanquam ne sic quidem iste locus perpurgatus videtur. Sed sæpius deest hæc vox, quam redundat. Androm. 270. ἃ κη βροτοῖς θεῶν ἐγκατέστησέ τινα, βροτοῖσιν tantum habet editio princeps. Sophocl. Philoct. 992. θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς τίθης, secundum θεοὺς omittit Aldus. Aristoph. Pac. 938. ὡς πάνθ᾽ ὅσ᾽ ἂν θεὸς θέλῃ, χἠ τύχη κατορθοῖ, Aldus et utraque Juntina omittunt θεός, sed præbent Scholiastes et Suidas v. πάνθ᾽ ὅσ᾽ ἄν. T. III. p. 18. In Sophoclis Œd. C. 1623. ubi nunc legitur, φθέγμα δ᾽ ἐξαίφνης τινὸς θώϋξεν αὐτὸν legendum est, φθέγμα δ᾽ ἐξαίφνης τινὸς θεῶν ἐθώϋξ᾽. Contra in Nostri Herc. Fur. 310. ὃ χρὴ γὰρ οὐδεὶς μὴ θεῶν θήσει ποτέ, quæ nemo, opinor, intelligit, lege, ὃ χρὴ γὰρ οὐδεὶς μὴ χρεὼν θήσει ποτέ. Tragicus apud Plutarch. Cons. ad Apollon. p. 103. B. τό τοι χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποιεῖν. In proximo versu Φοίνισσαν ἐναλίαν χθόνα *Tyrum insulam* interpretatur Scholiastes. *Por.*

ἀφῆκας D. *Beck.*

6. Φοίνισσαν χθόνα esse Phœniciam urbem, i. e. Tyrum, docuit Hemst. ad Lucian. T. I. p. 87.—In codd. Batav. ut in ed. King. est εἰναλίαν, sed Valck. ta-

Ἔθετο, γαμεῖ δὲ Λάϊός μ'· ἐπεὶ δ' ἄπαις
Ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
Ἐλθὼν ἐρωτᾷ Φοῖβον, ἐξαιτεῖ θ' ἅμα
Παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
Ὁ δ' εἶπεν, ὦ Θήβαισιν εὐίπποις ἄναξ,

Indidit) duxit vero me Laius: cum autem sine liberis
Esset, diu habens connubium meum in domo,
Veniens interrogat Phœbum, et poscit simul
Liberorum in ædibus masculorum communionem.
Ille respondit ei: o rex equestrium Thebarum,

8. Οἰδίποδα δὲ φασὶν Ἐπικάστην τὴν μητέρα γεγαμηκέναι, καὶ Εὐρυγάνην. * Αἰγύπτιος δέ φησιν, ὡς, ἐκ χρησμοῦ τοὺς παῖδας ἀκούσας ἀλληλοκτονήσειν, ἐξέθηκε τὸν Πολυνείκην. Μήστωρ δὲ, ἀμφοτέρους ἐκτεθῆναι. 14. Χρόνια] Ἤγουν χρονίως, ἐπὶ πολλὴν παράτασιν χρόνου ἔχων τὴν μετ' ἐμοῦ συνοίκησιν ἐν τοῖς δώμασιν. 15. "Ἐλθὼν ἐρωτᾷ μὲν "τῆς † ἀπαιδίας τὴν αἰτίαν· αἰτεῖ δὲ τῆς ἀῤῥενογονίας τὴν εὐτυχίαν." ‡ 17. Εὐίπποις ἄναξ]

* Pro Αἰγύπτιος cod. Aug. Λίγυστος. Fabric. B. Gr. T. I. p. 659. mavult Αἶγις, vel Αἴγιας. *Beck.*

† Pro ἀπαιδίας Valck. e vestigiis codicis Aug. mavult legere εὐ παιδογονίας. *Beck.*

‡ Initio Scholii King. dederat καταλλῆλον Ὁμ. quod nunc vulgatur, V. restituit e cod. Voss. inde quoque dedit συντέταχεν. *Beck.*

men dedit ἐναλίαν, ut etiam Heath. volebat.

εἰναλίας D. *Beck.*

εἰναλίαν, *mari adjacentem.* Pindarus: εἰναλία γ' Ἐλευσὶς, ubi Schol. alter: ἡ εἰναλία, ἤγουν ἡ παραθαλασσία. *Musg.*

11. ἐκ μιᾶς γαστρὸς J. quæ lectio, modo verba alio ordine ponas, probabilis videri possit, vel propter Homericum, Il. Ω. 496. ἰῆς ἐκ νηδύος. Si hæc est vera lectio, vulgata fluxit ex versu 157. *Por.*

Pro ματρὸς Valcken. exhibuit μητρὸς, et docuit, hanc formam Doricam in senariis tragicis ferri non posse, atque in Leidd. codd. Orestis semper mutatam esse in communem. Egit etiam de aliis formis Doricis, quæ perperam in Euripideis senariis conspiciantur, sed eorum numero eximendas ostendit has, κυναγὸς, ὀπαδὸς, ἑκατι, Ἀθάνα, quæ recte in senariis legantur. Æschylo eo magis tales et aliæ relinquendæ sunt, quoniam ille eas ex Sicilia secum attulit. Eodem modo nec Ionicas verborum formas in senariis Eurip. ferri posse ostendit. *Beck.*

12. ὄνομα recte supplet Bos. *Por.*

Ad τοῦτο supplendum τοὔνομα, quod in καλοῦσι latet, Valck. monet, ut Hecub. 21.

13. In cod. Leid. 1. γαμεῖ δ' ὁ Λ. Nempe Tragici omittunt articulum ante nomina propria, sed Grammatici eum adscribere solebant in usum puerorum v. Valck. ad v. 147. (145.) *Beck.*

14. Ἦν excidit in Cod. D. *Beck.*

16. κοινωνίαν, consuetudinem, ὁμιλίαν, ait Musgravius, male. Sensus est: *ut ipse et ego communes liberos haberemus; ut ipse ex me liberos procrearet.* Bacch. 1277. Πενθεὺς, ἐμῇ τε καὶ πατρὸς κοινωνίᾳ. Herc. Fur. 1365. πρὸς στέρν' ἐρείσας μητρὶ, δούς τ' ἐς ἀγκάλας Κοινωνίαν δύστηνον. Dionysius junior apud Plutarch. T. II. p. 338. B. Δωρίδος ἐκ μητρὸς Φοίβου κοινώμασι βλαστών. Paullo εὐθυῤῥημονέστερον Euripides Ion. 418. Παίδων ὅπως νῷν σπέρμα συγκραθήσεται. Versus initio τέκνων habent Cant. D. J. K. M. R. Contra mox 18. παίδων habent Scholiastes, Origenes contra Cels. II. p. 73. ed. Spencer. et in MS. Scholiastes Pindari Ol. II. 65. Parum aut nihil refert. Sed si quis hæc verba transponet me non invito faciet. *Por.*

κοινωνίαν.] Gl. Cod. D. συναυλίαν. *Beck.*

κοινωνίαν. *consuetudinem,* ὁμιλίαν. Maximus Tyr. VI. οὐδὲ ἀγοραῖοι σπουδαὶ, οὐδὲ δημώδεις κοινωνίαι. *Musg.*

17. Ὁ δ' pro vulgari Οἱ δ' legi jussit Heath. *Beck.*

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ·
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φὺς,
Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
Ὁ δ' ἡδονῇ δοὺς, εἴς τε βακχεῖον πεσὼν,
Ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος,

Ne semina liberorum sulcum invitis diis:
Si enim genueris filium, interficiet te ille qui satus fuerit,
Et tota domus tua ibit per sanguinem.
Ille vero dans se voluptati, et concedens insaniæ Bacchi,
Seminavit nobis filium: et cum semināsset infantem,

S. Κατὰ ζῆλον Ὁμηρικὸν Εὐριπίδης εἰς δοτικὴν τὸ ἄναξ συντέταχεν· ἐκεῖνος γὰρ ἀεὶ τούτῳ χρῆται τῷ πλαγιασμῷ. 18. Μὴ σπεῖρε τέκνων ἄλοκα] Ἐμπεδοκλῆς ὁ φυσικὸς ἀλληγορῶν φησὶ * Σχιστοὺς λιμένας Ἀφροδίτης, ἐν οἷς ἡ τῶν παίδων γένεσίς ἐστιν. Εὐριπίδης δὲ, ταυτὸ τοῦτο φάσκων, τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε, καὶ τοῖς ὀνόμασιν οἰκείως ἐχρήσατο, τεχνικαῖς ταῖς μεταφοραῖς σπόρον καὶ ἄλοκα λέγων. "Ἄλοκα] Αὔλακα· αὖλαξ "δὲ, ἡ τομὴ τῆς γῆς ὑπὸ ἀρότρου. μεταφορικῶς δὲ λέγει, αὔλακα μὴ σπεῖρε, ἀπὸ τῆς "ἀρουμένης γῆς· μὴ συνέρχου τῇ γυναικί." Ἄλλως. Μεταφορικῶς, μὴ σπεῖρε τὴν ἄλοκα, ἀπὸ τῆς ἀρουμένης γῆς. 21. Ὁ δ' ἡδονῇ δοὺς] Ἐκ τοῦ οἴνου εἰς ἡδονὴν τραπείς. Ἄλλως. Ἀντὶ τοῦ ἑαυτὸν δοὺς εἰς εὐωχίαν. καὶ πῶς, προεγνωκυῖα τὸν χρησμὸν, ἡ γυνὴ οὐκ ἀπέτρεψε τῆς μίξεως τὸν Λάϊον; ἢ οὖν ὕστερον εἶπεν αὐτῇ. ἢ εἶπε μὲν, ἡ δὲ † ὑπώπτευε τὸ ῥηθὲν εἶναι ψεῦδος, διὰ τὸν ἔρωτα Χρυσίππου. Εἰς βακχεῖον πεσὼν] Μεθυσθείς. 24. Λειμῶν' ἐς Ἥρας] Ἢ ὅτι πᾶς λειμὼν ἱερόν ἐστιν Ἥρας, ἢ ὅτι Κιθαιρωνίας Ἥρας ἐστὶν ἐν Θήβαις ἱερόν. ὅσοι δὲ ἐγκαλοῦσιν, ὡς ἐν ἱερῷ τόπῳ ἐκτεθέντος τοῦ παιδὸς, ἴστωσαν, ὅτι καὶ Ἀθῆναι μὲν λέγονται ἱεραὶ τῆς Ἀθηνᾶς, ὀλίγος δέ ἐστι τῆς ἀκροπόλεως εὐαγής τε καὶ ἱερὸς τόπος. Καὶ ‡ λελωβημένον δὲ ὅμως ἀνείλοντο τὸ βρέφος, ἴσως τῷ κάλλει νενικημένοι, καὶ τὴν ἴασιν εὐμαρῆ νομίσαντες αὐτοῦ ὑπὸ τῆς βασιλείας ἔσεσθαι. Καὶ Κιθαιρῶνος] Οὐκ ἤθελε γὰρ αὐτὸς ἀποκτεῖναι, φυσικῇ κατεχόμενος συμπαθείᾳ, ἅτε πατὴρ, καὶ διὰ τοῦτο εἰς τὸ ὄρος ἔῤῥιψεν. Λέπας] Ἀκρωτήριον· ἐν τούτῳ γὰρ ναὸς Ἥρας ἦν· ὃ καὶ καλεῖ λειμῶνα Ἥρας. πάντας γὰρ τοὺς ἀλσώδεις τόπους θεοῖς ἀφίερουν, καὶ τεμένη θεῶν ἐκαλοῦν Ἕλληνες. 25. Δίδω-

* Σχιστοὺς λιμ. M. quod Valck. restituerat e cod. Aug. ubi sic est:— φησὶν, Σχιστοὺς λ. Ἀ. φασὶν, ἐν οἷς — Εὐριπίδης δὲ αὐτὸν, τοῦτον (an leg. αὔλοκα τοῦτο? Valck.) φάσκ. —— καὶ τεχνικῶς ταῖς μεταφοραῖς σ. κ. ἄ. λέγειν. *Beck.*

† Ὑπώπτευε τὸν χρησμὸν εἶναι ψεῦδος. Cod. Aug. *Beck.*

‡ Λελωβημένον δὲ ὅμως] Valck. mavult, λελωβημένον μὲν, ὅμως δὲ—νομισ. αὐτῶν] v. αὐτοῦ M. quod a King. profectum et in cod. Aug. est. In eodem cod. mox ὑπὸ τοῦ βασιλέως legitur. *Beck.*

18, 19. δαιμόνων ἄτερ· εἰ γὰρ φυτεύσεις Maximus Tyrius XIX. 5. (aliter III.) in edd. vulg. βίᾳ ex vestigiis MS. et ἢν γὰρ φυτεύσῃς ex MSS. edidit Davisius. *Por.*

18. Μὴ σπεῖρε τέκνων ἄλοκα] Hanc verecundiam *Euripidis Virgilius* est imitatus, ubi locum conceptionis *genitale arvum* vocat, et nos quoque in *Esthera* nostra, v. 1216. Ἦ ῥα καὶ ἡμετέροις ἀρόσι μεγάροισι Δάμαρτα; vid. *Turneb. Advers.* l. 19. c. 18. *Barnes.*

18. s. Maxim. Tyr. diss. 3. p. 19. ubi hos versus laudat, habet δαιμόνων ἄτερ et φυτεύσεις, sed Davis. p. 227. e cod. Harlei. edidit δαιμόνων βίᾳ et e pluribus codd. ἢν γὰρ φυτεύσῃς — παίδων ἄλοκα legunt Schol. ad h. l. et Origines c. Cels. 2. p. 73. ubi et in v. 20. βήσεται δι' αἱμάτων. Chalcidius in Timæum Platonis p. 244. vertit ita: *Cave, ne vetitos liberum sulcos seras. Generatus ille* (Valck. corrigit *inde*) *te mactabit impie; Et omnis aula respergetur sanguine.* Ex Valck. qui plures, qui hujus loci meminerint, excitat.

18. τέκνον D. *Beck.*

19. Εἰ γὰρ τεκνώσεις] In secundo loco *Iambus*: τε enim in τεκνώσεις breve habendum, (licet Spondeus videatur) cujus aliquot instantias hic proferre lubet.

Γνοὺς τἀμπλάκημα, τοῦ θεοῦ τε τὴν φάτιν,
Λειμῶν᾽ ἐς Ἥρας, καὶ Κιθαιρῶνος λέπας
Δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
Σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον,
Ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν,

Agnoscens erratum, et Dei oraculum,
In pratum Junonis, et culmen Cithæronis
Dat pastoribus exponi puerum,
Fodiens ferreos aculeos per talos medios:
Unde ipsum Græcia vocàt Œdipum,

S. σι βουκόλοισι] Ἵν᾽ ἀποθάνῃ. οὐ γὰρ ἤθελεν ἐκ τοῦ ἐμφανοῦς ἀνελεῖν τὸ βρέφος, φεύγων τὸ μῦσος. 26. "Σφυρῶν σιδηρᾶ] Διὰ μέσων τῶν σφυρῶν τὰ σιδηρᾶ κέντρα πείρας. Καὶ ἄλ-" λως. * Ὡς θηριώδης φησὶ καὶ ἀνόητος ἀνελεῖν μὲν οὐκ ἔμελλε τὸ βρέφος, ὁ δὲ χαλεπῶς ἐλω-" βήσατο. ῥητέον μὲν οὖν, ὅτι τὸ μὲν ἀποκτεῖναι ἀσεβὲς ἡγήσατο· εἰ δὲ καὶ διατρήσειεν αὐτοῦ" καὶ τρεῖς τὼ πόδε, τὸν ἐπηρτημένον κίνδυνον ἐκφεύξεται, μηδενὸς ἀνελομένου. Οἱ δὲ ἀπὸ" τῶν σπαργάνων φασὶν αὐτὸν ἐξῳδηκέναι ἐκ ταὐτομάτου τὼ πόδε. † Οἱ δὲ, εἰς θάλασσαν ..." καὶ, προσοκείλαντα τῇ Σικυῶνι, ὑπὸ τοῦ Πολύβου ἀνατραφῆναι. ‡ Ἔνιοι δὲ φασὶν, ὅτι αὐ-" τὸν εἶναι παῖδα ...... Τινὲς δὲ Ἱπποδάμειαν τὴν Οἰνομάου ὑποβεβλῆσθαι αὐτὸν" αὐτῷ φασὶν, ὕστερον δὲ, ἁρπάσαντος τοῦ Λαΐου Χρύσιππον, βοηθὸν ὄντα τῷ Χρυσίππῳ," ἀποκτεῖναι τὸν Λάϊον· τὴν δὲ Ἰοκάστην ἐλθοῦσαν ἐπὶ τὴν κηδείαν τοῦ νεκροῦ, μιγέντα" γεννῆσαι τοὺς παῖδας· ὕστερον δὲ, λύσαντος τὸ αἴνιγμα, γνωρισθῆναι. Οἱ δὲ τὸν Πό-" λυβον αὐτὸν τυφλῶσαι, περὶ τῆς πατροκτονίας χρησμοὺς ἀκούσαντα. Τινὲς δὲ καὶ" τὴν μητέρα [ὑπ᾽] αὐτοῦ ἀνῃρῆσθαι. ἀνελεῖν δὲ αὐτὸν οὐ μόνον τὴν Σφίγγα, ἀλλὰ καὶ τὴν" Τευμησίαν ἀλώπεκα, ὡς Κόριννα. Οἱ δὲ τὴν Σφίγγα Μακαρέως μὲν γενέσθαι γυναῖκα," θυγατέρα ‖ Εὐκαλέτονος, ἑνὸς τῶν ἐγχωρίων· οὗ τελευτήσαντος κατασχεῖν τὴν Σφίγγα," § ἐπαναιρεθῆναι ὑπὸ τινὸς Οἰδίποδος, συνελθόντος αὐτῇ. Τινὲς δὲ καὶ Λαΐου τὴν Σφίγγα πα-" ραδιδόασιν, ** ὡς Λυσίμαχος." Σφυρῶν] Διὰ τῶν σφυρῶν, τῶν ἀστραγάλων, ἐλάσας κατὰ τὸ μέσον σιδηρᾶ κέντρα, ἀφ᾽ ἧς αἰτίας ὠνόμαζον αὐτὸν οἱ ἐν τῇ Ἑλλάδι Οἰδίποδα. 27. "Ὅθεν

* Ὡς θηριώδης] Valck. conjicit legendum Πῶς θηρ. et post ἐλωβήσατο interrogationis notam ponendam. *Beck.*

† Οἱ δὲ, εἰς θάλασσαν .... verbum ῥιφθῆναι, vel ῥιφέντα, excidisse censet Valck. *Beck.*

‡ Ἔνιοι δέ φασιν, ὅτι αὐτὸν εἶναι παῖδα ...... requiri tale quid putat Valck. ἔνιοι δέ φασιν, νόθον αὐτὸν εἶναι παῖδα Πολύβου. *Beck.*

‖ Εὐκαλέτονος Valck. suspicatur legendum Οὐκαλέγοντος. *Beck.*

§ Ἐπαναιρεθῆναι Valck. conjicit, εἶτ᾽ ἀναιρεθῆναι. *Beck.*

** Ὡς Λυσίμαχος qui scripserat Θηβαϊκὰ Παράδοξα. v. Valck. *Beck.*

Τυφλὸς] *Phœniss.* v. 1714. Πρόσθες τυφλὴν χέρ᾽ ἐπὶ πρόσωπα δυστυχῆ.

Τέκμαρ] *Hecub.* v. 1255. Κυνὸς ταλαίνης σῆμα ναυτίλοις τέκμαρ.

Τέκνον] *Orest.* v. 1235. Ἀγάμεμνον, εἰσάκουσον, ἔκσωσεν τέκνα.

Σκυθρωπὸς] Idem. ibid. 1315. Κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας.

Σαθρὸς] Idem *Hecuba* v. 1172. Εἶτ᾽ αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθρούς.

Ὄχλος] Idem *Orest.* 878. Ἐπεὶ δὲ πλήρης ἐγένετ᾽ Ἀργείων ὄχλος.

Πότμος, Πέπλος Ὕπνος, Τεκμήριον, Γενέθλιον] Idem eodem modo corripit vocalem ante duplicem in πότμος, in πέπλος in ὕπνος, in τεκμήριον, in γενέθλιον.

Λύχνον, Τέχνη] Et *Theocrit.* in Idyll. κδ. idem facit in ὕπνος, in λύχνον, in τέχνη. Sic *Iphig.* in *Tauris*, v. 1182. prior syllaba τοῦ ἔτλη (et *Supplic.* v. 173. τοῦ ἔτλησαν) brevis est, eodem modo, ut in Ἄτλας prior communis est tam apud *Græcos*, quam *Latinos*, ut *Ovid.* Metam. l. 4.

Quantus erat mons factus *Atlas*; nam barba comæque.

Id. l. 4.

Venit *Atlantiades* positis caducifer alis, etc.

Ἀριθμὸς] Ita *Delphicum* Oraculum:

Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι
Φέρουσ᾽ ἐς οἴκους· εἴς τε δεσποίνης χέρας

Polybi vero pastores equorum, accipientes puerum,
Ferunt domum, et in manus dominæ

S. "νιν Ἑλλὰς] Ἀφ᾽ οὗ ὁ Οἰδίπους· παρὰ τὸ οἰδεῖν τοὺς πόδας ἐκ τῶν περονῶν, ἡ μὲν Μερόπη πρῶτον αὐτὸν Οἰδίπουν ἐκάλεσεν, ἡ δὲ Ἑλλὰς ἀπ᾽ αὐτῆς διεδέξατο τὸ ὄνομα." 28. "Πολύβου δέ νιν] Τύραννος καὶ * αὐτὸς ἐν . . . μέρει τῆς Βοιωτίας. Οἱ δὲ τῆς Κορίνθου βασιλέα." Ἱπποβουκόλοι] Ἱπποφορβοί. τὸ δὲ βουκόλοι ἀπὸ τοῦ ἐπισήμου ζώου, ὡς τὸ, Τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο. Τινὲς εἰς λάρνακα βληθέντα καὶ εἰς θάλασσαν ῥιφέντα τὸν παῖδα προσπελασθῆναι τῇ Κορίνθῳ φασί. Ἱπποβουκόλοι] Ἱπποβουκόλους ἐνταῦθα καλεῖ, ἢ τοὺς μεγάλα βουκόλια νέμοντας· (ἵππος γὰρ τὸ μέγα παρ᾽ Ἀττικοῖς, ὥσπερ καὶ τὸ βοῦς· καὶ γὰρ Βούπαιδα, τὸν μέγαν φαμὲν, καὶ Ἱππόβινον Ἀριστοφάνης, (Ran. 432.) τὸν μέγιστον εἰς τὴν συνουσίαν λέγει.) ἢ Ἱπποβουκόλους, τοὺς τῶν ἵππων βοσκούς· τὸ βουκόλους, ἀντὶ τοῦ βοσκοὺς καταχρηστικῶς, ὥσπερ καὶ ἕτερα τοιαῦτα εὕρηται παρὰ τοῖς ποιηταῖς, ὡς ἔχει καὶ τὸ Ὁμηρικὸν,—(Il. Δ. 3.) "Νέκταρ ἐῳνοχόει." Ἔλαβον δὲ τὸ βρέφος ἐκεῖνοι, ὑπὸ τῆς δεσποίνης παραγγελθέντες, εἴ που εὕροιεν παιδίον ἐκτεθὲν παρὰ τῆς μητρὸς, ἀγαγεῖν αὐτῇ, † ἀπαιδίαν νοσούσῃ. Ἄλλως. "Ἀμήχανον δὲ τὸ, τοὺς βουκόλους βρέφος ἀνελέσθαι καὶ οὕτω λελωβημένον· ῥητέον, ὅτι τὸ εἶδος τοῦ παιδὸς καλὸν ἑώρων" 30. Τὸν ἐμὸν ὠδίνων πόνον] Ἀντὶ τοῦ τὸν πόνον τῶν ἐμῶν ὠδίνων. ἔχει δέ ‡ τι τοῦτο παραλλάττον πρὸς τὸ, ἐμὸν αὐτοῦ πρᾶγμα, καὶ τὰ τοιαῦ-

* Αὐτὸς ἐν . . . forte τινὶ supplendum. *Valck.*
† Legi posse ἀπαιδίᾳ νοσούσῃ monet Valck. *Beck.*
‡ In Scol. ad h. l. Cod. D. τι ante τοῦτο omittit, tum habet παραλλάττων tum προσώπων καὶ πράγματος. Sic et infra τριῶν ὄντων προσώπων. Mox καὶ τῶν μὲν ὠδίνων τοῦ προσώπου εἰσί.— *Beck.*

Οἶδα δ᾽ ἐγὼ ψάμμου τ᾽ ἀριθμὸν καὶ μέτρα θαλάσσης Et *Anthol.* l. 3. Τέσσαρες, οὓς ἀΐδαο συνήριθμον ἥρπασεν ἧμαρ.

Σταθμὸς] Ibid. l. 4. Ἥρως Ἠετίωνος ἐπὶ σταθμὸν, ἀμφιπολίτεω Ἵδρυμαι. Deinde *Homerus* Odyss. η'. v. 89. Ἀργύρεοι δὲ σταθμοὶ ἐν χαλκέῳ ἕστασαν οὐδῷ. Vid. Αὐλικοκάτοπτρον, sive *Estheram* nostram not. ad v. 1435.

Λιχμάζω] *Oppian,* Κυνηγ. l. 4. v. 174.
Καὶ βόσιος χατέουσα πόδας χεῖράς τε λιχμάζει.

Ἄθρασον] *Phœniss.* v. 865.
Καὶ πνεῦμ᾽ ἄθροισον, κᾆπος ἐκβαλὼν ὁδοῦ. *Barnes.*

τεκνώσεις] Gl. Cod. D. ἀντὶ τοῦ γεννήσεις. *Beck.*

20. αἱμάτων Origen. ed. et MS. in Museo Helvetico Part. XIX. p. 341. Hujus vocis pluralem aliquando usurpant Tragici. *Por.*

21. ἡδοὺς Marklandus, sine causa, ut censet etiam Valckenærius Diatrib. p. 233. *Por.*

ἡδονῇ δοὺς, nempe ἑαυτὸν — Pro βακχεῖον etiam βακχίον scribitur, sed βακχεῖον hic in omnibus Codd. et Schol. Aristoph. Ach. 242. et 262. Valck. quo auctore etiam verba εἰς βακχ. πεσὼν præcedere debebant illa ἡδονῇ δοὺς, utpote natura priora.

ἡδονὴ D. εἴς τε βακχεῖον πεσών. Gl. Cod. D. ἀντὶ τοῦ μεθυσθείς. *Beck.*

S. βουκόλοις τῆς Δίρκης, ἐβουκόλουν αὐτῇ. ὕστερον δὲ παρέδωκεν αὐτοῖς τὴν Ἀντιόπην ἐπὶ τὸ διὰ ταύρων διασπάσαι. οἱ δὲ γνόντες αὐτὴν μητέρα αὐτῶν, αὐτῆς μὲν ἐφείσαντο, τὴν δὲ Δίρκην ὑπὸ τῶν ταύρων διέσπασαν, καὶ ὁ τόπος, ἔνθα ἐσύρη, Δίρκη καλεῖται, καὶ ὁ τόπος, καὶ ὁ ποταμός. 101. Ὄρεγε νῦν] Πάρεχέ μοι τὴν χεῖρα ὁδηγὸν, ἤγουν ὁδήγει με. ἢ ἀντὶ τοῦ ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμῇ τῇ νέᾳ, ἅμα προσαναβαίνων. Ἐπαντέλλων γὰρ, ἀντὶ τοῦ ἐπανάγων· ἡ μεταφορὰ ἀπὸ τοῦ Ἡλίου, καὶ γὰρ οὗτος εἰς τὸ ὑψηλὸν τοῦ οὐρανοῦ ἀναβαίνει. —— ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Α'. — Ὄρεγε νῦν] Τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀνομοιόστροφα κυρίως, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν, καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα γ'. Τὸ α' παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων τετάρτων δύο καὶ σπονδείου. Τὸ β' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, Γλυκώνειον, ἐξ ἀντισπάστου καὶ διιάμβου. Τὸ γ' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· ἐπὶ τῷ τέλει παράγραφος. 104. Ἰδοὺ, ξύναψον] Κατὰ περικοπὴν ἴαμβοι γ', εἶτα παράγραφος. 106. "Χωρίζουσι δ'

expleri quidem vacuum temporis intervallum, donec Polynices adveniret, sed non debuisse tam longum intervallum fingi, verisimilitudinis etiam leges in temporibus adventus Polynicis metiendis negligi; nam quem modo in castris viderat Antigone Polynicem, is, dum brevis oda cantatur, campis peragratis adest. Vera insertæ hujus scenæ caussa videtur studium imitandi Homerum, et mereri commendationem hanc scenam monet M. ob curam latendi, dignam puellari verecundia, vicissitudinem metri lyrici et alterius, animum puellæ erga Polynicem etc.

γεραιὰν rescripsit Br. Vulgatum in D. *Beck.*

103. Plures MSS. ἐπανατέλλων, nonnulli ἐξανατέλλων, sed Hesychius ἐπαντέλλων, ex Tragico Lexico, ut credibile est. Inde enim sumsit κυρσαῖς γένυσιν, supra 32. inde Πολύβου τροφεῖ 45. δάιον φρένα 394. et alia. *Por.*

ἐπαντέλλων cum Edd. habet Hesych. In codd. Leidd. duobus ἐπανατέλλων. *Beck.*

ἐπανατέλλων D. cum gl. ἐπαναβιβάζων. *Beck.*

104. ξύναψον,] Gl. Cod. D. ἅρμοσον τὴν χεῖρά σου τῇ ἐμῇ. *Beck.*

106. δ' omittere vult Valckenærius, unius Leid. auctoritate. Sed habent ceteri et Eustathius, ab ipso citatus, in Il. B. p. 239, 23. (181, 22.) *Por.*

ΑΝ. Ἰὼ πότνια παῖ Λατοῦς
Ἑκάτα, κατάχαλκον ἅπαν
Πεδίον ἀστράπτει.
ΠΑΙ. Οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα
Πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

Ant. O veneranda filia Latonæ
Hecate, æneus totus
Campus fulgurat.
Pæd. Non tenuiter enim venit in hanc terram Polynices,
Magno equitatu, et multis clypeis strepens.

S. ἀλλήλων τοὺς λόχους καὶ τὰ τάγματα. Φεῦ, ὦ θύγατερ τῆς Λητοῦς σεβασμία σελήνη, ἅπαν γὰρ τὸ πεδίον ἀστράπτει κατάχαλκον, ἤτοι ἔνοπλον. Οὐ γὰρ φαύλως καὶ ἀπρεπῶς ἦλθε καὶ κατέλαβεν ὁ Πολυνείκης τὴν γῆν, ἀλλὰ βρέμων καὶ ἠχῶν ἐν πολλοῖς ἵπποις, καὶ

S. ἀλλήλων λόχους.] Ἀποχωρίζουσι καὶ κατατάσσουσιν ἀλλήλους εἰς πόλεμον." 107. Ἰὼ πότνια] Πότνια παῖ Λατοῦς καὶ τοξότης Ἄρτεμι. Ὡς παρθένος δὲ τὴν Ἄρτεμιν ἀνακαλεῖται, ἢ ἐπειδὴ τὸ πέδιον ἀστράπτον ἑώρα, τὸ δὲ τῆς σελήνης εἶδος τοιοῦτον, (εἰς γὰρ τὴν σελήνην ἀλληγορεῖται ἡ Ἄρτεμις) διὰ τοῦτο ἐκπληττομένη πρὸς τὴν Ἄρτεμιν ποιεῖται τὸν λόγον. εἰ δέ τις εἴποι, ὅτι καιρὸν εἶχε τὸ ταύτην ἐπιβοᾶσθαι ὡς πολεμικήν, οὐδὲν βλάβος τῷ λόγῳ. —— ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΩΝ ΣΤΡΟΦΩΝ Β' καὶ Γ'. — Ἰὼ πότνια] Ἡ β' αὕτη στροφὴ, κώλων ἐστι γ'. Τὸ α' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, Γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου α'. Τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ γ' τροχαϊκὸν πενθημιμερὲς, τοῦ α' ποδὸς χορείου εἰ δὲ βούλει, παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ σπονδείου· ἐπὶ τῷ τέλει παράγραφος. 108. Κατάχαλκον] Ἀντὶ τοῦ πεπληρωμένον χαλκῷ ὡπλισμένων ἀνδρῶν. 109. Ἀστράπτει] Τῇ ὑπερβολῇ κατάπληξιν ἐμφαίνει, ὅλον λέγων ἀστράπτειν τὸ πεδίον, καίτοι ὀλίγον μέρος αὐτοῦ κατεῖχον οἱ πολέμιοι. οἰκείως δὲ τὸ ἀστράπτειν ἐνταῦθα, τοιαύτη γὰρ ἡ τοῦ χαλκοῦ φύσις, ὅταν τις ἐν Ἡλίῳ κινήσειεν αὐτόν. πῶς δὲ ἐνταῦθα φησὶ κατάχαλκον πεδίον, ἐν δὲ τοῖς ἑξῆς φησὶ, "Λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν." ἀλλ' οὐ πάντες ἦσαν λευκάσπιδες. περὶ γοῦν τίνος φησὶ, Πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονι κουφίζων, ἢ καὶ ἀπὸ τῶν ἄλλων ὅπλων κατάχαλκον φησὶ τὸ πεδίον, θωρήκων τε, καὶ κνημίδων, καὶ κρανῶν; 110. Οὐ γάρ τι] Κατὰ περικοπὴν ἴαμβοι β', εἶτα παράγραφος. 111. Ὅπλοις βρέμων] Ἐμφαντικῶς —— ἠχῶν, ἵνα σκοπῶν ἀλληγορῇ τὸν πόλεμον. ἢ κομπάζων. 112. Ἆρα πύλαι] Ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ δ'. Τὸ α' δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ σπονδείου. Τὸ β' παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος α' καὶ δακτύλου.——ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Γ'.—Τὸ γ' προσῳδιακὸν, τρίμετρον καταληκτικόν· ἐκ χοριάμβου ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ. Τὸ δ' δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει, χοριαμβικὸν καθαρὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. 113. Ἔμβολα] Οἱ μὲν τὰς καθέτους, οἱ δὲ τοὺς στροφεῖς. "Χαλκόδετά τ' ἔμβολα] Τοὺς μοχλοὺς τῷ χαλκῷ δεδεμένους· τὸ αὐτὸ δὲ καὶ κλεῖ- "θρα." Ἄλλως. Χαλκόδετα ἔμβολα, τινὲς, τοὺς στροφεῖς, παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ τοῦ οὐδοῦ. χαλκόδετα δὲ, ἐπεὶ χαλκῷ παρασφηκοῦνται οἱ στροφεῖς, διὰ τὸ μὴ προστριβόμενον ἐξασθενεῖν τὸ ξύλον. ἆρα οὖν, φησὶν, αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ οἱ

Laudat Eustath. in Il. β. p. 181, 21. In cod. Leid. 2. Στράτευμα· χωρίζουσιν ἀλλήλων λόχους, quod probat V., defectum enim particulæ copulantis celeritati congruere. Cæterum in his Euripidem imitatum esse Homerum observat V. post Eustath. ad Il. γ. p. 298, 38. et confert Iliad. 3, 167. 178. *Beck.*

108. Huc respexit, monente Valckenærio, Eustathius ad Il. Ε. p. 512, 40. (388, 9.) et Il. Δ. p. 471, 41, (359, 29.) corruptissime citat, κατίσχον ἅπαν πεδίον ἀστράπτει. Imitatus est Miltonus Par. Recuperat. III. 326. *The field, all iron, cast a gleaming brown.* *Por.*

Excitat Aristides T. I. p. 220. Ap. Eustath. ad Il. δ. p. 388, 9. vitiose κατίσχει ἅπαν πεδίον ἀστραπαῖς. Dictionem

ΑΝ. Ἆρα πύλαι κλείθροις,
Χαλκόδετά τ' ἔμβολα
Λαϊνέοις Ἀμφίονος ὀργάνοις
Τείχεος ἥρμοσται;
ΠΑΙ. Θάρσει· τά γ' ἔνδον ἀσφαλῶς ἔχει πόλις.

Ant. Nunquid portæ claustris,
Æneique vectes
Saxeis Amphionis operibus
Muri coaptati sunt?
Pæd. Confide: quod interiora attinet, bene munita est urbs:

P. μυρίοις ὅπλοις. Ἆρα αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς λαϊνέοις Ἀμφίονος ὀργάνοις, ὅ ἐστι τῷ λαϊνέῳ τείχει; Θάῤῥος ἔχε· τὰ ἔνδον γὰρ καὶ τὰ ἐντὸς ἀσφαλῶς καὶ βεβαίως ἔχει ἡ πόλις. ἀλλ' εἰσόρα καὶ βλέπε εἰ

S. στροφεῖς καλῶς ἐνηρμόσθησαν πρὸς τὸ λαΐνεον τεῖχος, * καὶ τὰς ὀπὰς, ὅ ἐστι τὸ ἔργον τοῦ Ἀμφίονος. οὐ θαρσήσασα δὲ τοῖς κλείθροις, καὶ περὶ τῶν στροφέων φησὶ, μή ποτε καὶ τοὺς στροφεῖς τῶν θυρῶν † ἀναβαλεῖν δυνήσονται οἱ Ἀργεῖοι, μὴ ἐν βάθει ἡρμοσμένους; ἄλλοι δὲ ἔμβολα φασὶ τὰς καθέτους, τὰ νῦν καλούμενα Πτερὰ, ἅπερ ἐστὶ τῇ κατασκευῇ τοιάδε. Θύραν κατασκευάσαντες ἴσην κατά τε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τείχους, ἔξωθεν αὐτῆς χαλκᾶ πέταλα καθηλοῦσιν, ὡς ὁλόχαλκον τὴν θύραν νομίζεσθαι, ‡ ταύτην ἐπάνω τῆς θύρας ἱστᾶσιν οὐχ ἑδραίαν, ἀλλ' ὥσπερ κρεμαμένην. τῶν δὲ πυλῶν κλειομένων, καθιᾶσιν ἄνωθεν τὴν κεχαλκωμένην θύραν, ἥ τις μέχρι τοῦ ἐδάφους φθάνουσα ἐκάλυπτε τὰς πύλας, ὡς ἂν μηδεμίαν ἐπιβουλὴν γίνεσθαι· ἔσθ' ὅτε καὶ πυρὸς προσφερομένου ταῖς πύλαις, ξυλίναις οὔσαις, καὶ πολεμίων μὲν πολιορκούντων, τάς τε πύλας ἔκλειον, καὶ τὰ ἔμβολα καθίεσαν· εἰρήνης δὲ οὔσης διὰ τὸ τὰς πυλὰς οὔσας μεγάλας δυσχέρειαν παρέχειν ἔν τε τῷ κλείεσθαι καὶ ἀνοίγεσθαι, ταύτας μὲν εἴων ἀνεῳγμένας διαπαντός· ἑσπέρας δ' ἠρκοῦντο τῷ ἐμβόλῳ, διά τινος μηχανήματος αὐτὸ καθιέντες καὶ ἀνέλκοντες. ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμβάλλεσθαι ἔξωθεν τῶν πυλῶν. χαλκόδετον δὲ, διὰ τὸ δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ. ὁ δὲ νοῦς, ἆρα αἱ πύλαι τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς Ἀμφίονος λαϊνέοις τοῦ τείχους ὀργάνοις, τουτέστι τοῖς ὑπὸ Ἀμφίονος κατασκευασθεῖσι τείχεσιν; ὁ μὲν γὰρ Κάδμος ἔκτισε τὰς Θήβας, Ἀμφίων δὲ καὶ Ζῆθος ἐτείχισαν. 114. Λαϊνέοις Ἀμφίονος ὀργάνοις] Ἀντὶ τοῦ ἔργοις, τοῖς ‖ μουσικῇ γινομένοις. φασὶ γὰρ, ὡς Ἀμφίων ὁ οἰκοδομησάμενος Θήβας, ὅτε διετίθει τὸν τειχισμὸν, οὐ χερσὶν ἐχρῆτο πρὸς τοῦτο, οὐδὲ ἦσαν οἱ συναιρόμενοι αὐτῷ τῆς οἰκοδομίας, ἀλλὰ τῆς αὐτοῦ μουσικῆς

* Καὶ τὰς ὀπὰς] Valck. mavult: πρὸς τ. λ. τεῖχος (κατὰ τὰς ὀπάς). *Beck.*

† Ἀναχαλᾷν (B.)] Ἀναβαλεῖν M. e. cod. Aug. in vett. edd. est ἀνακαλεῖν, sed Valck. verum putat ἀνακλῖναι. *Beck.*

‡ Valck. conjicit: ταύτην δὲ τὴν γανωτὴν (pro ἐπάνω τῆς) θύραν ἱστᾶσιν οὐχ ἑδραίαν. γανωτὴ est *æreis laminis obducta.* *Beck.*

‖ Μουσικῇ] In Leid. est: μουσικῶς. Mox, ἀλλὰ τῆς αὐτοῦ μουσ.] Valck. mavult: ἀλλὰ διὰ τῆς αὐτοῦ μ. *Beck.*

Eurip. a variis expressam copiose illustrat. V. *Beck.*

111. Pro ἵπποις D. ὅπλοις, aberratione oculorum librarii ad sequentia. *Beck.*

112. κλήθροις ex Att. ratione scribi posse, V. monet. κλεῖθρα sunt portarum claustra, χαλκόδετα ἔμβολα, ferratæ robora portæ. Sequentia profert Schol. Soph. Trachin. 601. ubi ὄργανον dici ait pro ἔργον.

112. s. Jungit in unum versum. D. *Beck.*

114. Reisk. λαϊνέαις — ὀρκάναις. Hesychius ὀρκάνην, εἱρκτὴν et φραγμὸν interpretatur. *Beck.*

116. Ridet Lucianus Jove Tragœdo

Ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.
ΑΝ. Τίς οὗτος ὁ λευκολόφας,
Πρόπαρ ὃς ἀγεῖται στρατοῦ,
Πάγχαλκον ἀσπίδ' ἀμφὶ
Βραχίονα κουφίζων;
ΠΑΙ. Λοχαγὸς, ὦ δέσποινα. ΑΝ. Τίς, πόθεν γεγὼς;
Αὔδασον, ὦ γεραιὲ, τίς ὀνομάζεται;

Sed vide primum, si vis scire quis sit.
Ant. Quis est ille candenti cono,
Qui antecedit exercitum,
Æneum clypeum circa
Brachium leviter gerens?
Pæd. Dux est, o domina. *Ant.* Quisnam? Unde natus?
Dic, o senex, quomodo nominatur?

P. βούλει καὶ θέλεις γνῶναι τὸν πρῶτον στρατηγόν. Τίς ἐστιν οὗτος ὁ λαμπρὰν ἔχων περικεφαλαίαν, ὅστις ἔμπροσθεν προοδοποιεῖ τοῦ στρατοῦ, ὁλόχαλκον ἀσπίδα περὶ τὸν βραχίονα βαστάζων; Ταξίαρχος, ὦ δέσποινα. τίς, καὶ ἐκ ποίου τόπου γεγονώς; εἰπὲ, ὦ γεραιὲ, τίς κα-

S. ἐποιεῖτο τὸ ἔργον, μέλος ἀνακρουόμενος, κἀντεῦθεν τοὺς λίθους κινῶν, καὶ κατασκευάζων τὰ τείχη. ἐγένετο δὲ τὸ τεῖχος ἑπτάπυλον, ὅσοι καὶ οἱ τῆς λύρας τόνοι. Ὀργάνοις] Ὀργάνοις, τοῖς ἔργοις, ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ Σοφοκλῆς, "Ξουθοῦ μελίσσης κηρόπλαστον ὄργανον," ἀντὶ τοῦ ἔργον. Συνάμα δὲ Ἀμφίων καὶ Ζῆθος κατεσκευάζετο τὰ τεῖχος. Ἑρμῆς δὲ τὴν λύραν πρῶτος εὑρὼν Ἀμφίονι δοῦναι λέγεται. 122. "Λοχαγὸς, ὦ "δέσποινα] Λοχαγὸς λέγεται ὁ ταξίαρχος, εἷς τῶν ἑπτὰ λοχαγῶν. "Ἑπτὰ λοχαγοὶ "——— ἐφ' ἑπτὰ πύλαις." Σοφοκλῆς ἐν Ἀντιγόνῃ." (v. 145.) Ἄλλως. Λοχαγὸς] Ταξίαρχος, ἡγεμών. Λοχαγὸς] Κατὰ περικοπὴν ἴαμβοι δ', εἶτα παράγραφος. Τίς;] Τὸ Τίς ζητεῖ τὸ ὄνομα· τὸ δὲ Πόθεν τὸν τόπον. 124. Οὗτος Μυκηναῖος] Οἱ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασί. Μυκηναῖος οὖν ἐστιν, οἰκεῖ δὲ περὶ τὴν Λέρνην, τὴν ἐν Μυκήνῃ πηγὴν, ὅ ἐστι τὴν ἐν Ἄργει. 125. Λερναῖα] Ἀπὸ μέρους τὸ Ἄργος. Λέρνη γὰρ πόλις καὶ πηγὴ τοῦ Ἄργους. Λερναῖα] Ἱππομέδων ἄναξ ὀνομάζεται, Μυκηναῖος μὲν κατὰ τὸ γένος. οἰκεῖ δὲ Λερναῖα νάματα, ἀντὶ τοῦ περὶ τὰ νάματα τῆς Λέρνης· Ἄλλως. Οὗτος Ἱππομέδων ἄναξ κατὰ γένος. οἰκεῖ δὲ τὰ Λερναῖα νάματα, ἀντὶ τοῦ περὶ τὰ νάματα τῆς Δίρκης (sic.) ἔστι δὲ Λέρνη πηγὴ ἐν τῷ Ἄργει. τὸ ἑξῆς οὕτως· Μυκηναῖος μὲν αὐδᾶται γένος Ἱππομέδων ἄναξ, ἵνα τὸ αὐδᾶται πρὸς τὸ Ἱππομέδων ῥᾴδιον ἀποδίδοιτο τῇ συνεπείᾳ τοῦ λόγου.

II. p. 646. Θάρσει· τὰ νέρθεν ἀσφαλῶς ἔχει θεοῖς. Ubi legisse videri posset πόλει. *Por.*

τά τ' ἔνδον D. *Beck.*

118. s. Laudat Julianus Cæs p. 313. C. ubi ἡγεῖται. In MS. Flor. etiam ἀγεῖται. Ad λευκολόφας Valck. comparat vocabula Γοργολόφας, μηλονόμας et similia. *Beck.*

119. ἄγει Ald. ἡγεῖται Grot. Julian. Cæs. p. 313. C. MSS. plerique. ἀγεῖται, quod edidit Barnesius, habent Schol. C. Flor. L. membr. et quinque alii, si fides Burtono; sed quosdam ex iis ἡγεῖται exhibere suspicor. *Por.*

Ἀγεῖται] τὸ Ἄγει, quod prius obtinebat, deleo, quia sensus hoc verbum non agnoscit, et *Scholiastes* legit ἀγεῖται, et MS. quod longe melius.

ἡγεῖται D. sed Br. quoque e membr. Reg. ἀγεῖται edidit. *Beck.*

120. s. Jungit in unum versum D. *Beck.*

121. βραχίονα edidit Valckenaerius. βραχίονι Ald. Variant. MSS. ἔχων Cant. R. sed κουφίζων uterque pro v. l. *Por.*

Pro βραχίονι Valck. e Codd. Leidd. et Schol. recepit βραχίονα: poëtæ enim non tantum Dativo, sed et Accus. jungunt particulam ἀμφὶ hoc sensu. v. Valck.

ΠΑΙ. Οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ' οἰκεῖ νάμαθ', Ἱππομέδων ἄναξ.
ΑΝ. Ἒ, ἔ, ὡς γαῦρος, ὡς φοβερὸς
Εἰσιδεῖν, γίγαντι
Γηγενέτᾳ προσόμοιος,
Ἀστερωπὸς ἐν γραφαῖσιν,
Οὐχὶ πρόσφορος ἁμερίῳ γέννᾳ.

Pæd. Hic Mycenæus quidem dicitur genere,
Habitat vero ad Lernæam paludem, rex *Hippomedon.*
Ant. Heu, heu, quam superbus, quam terribilis
Aspectu, giganti
Terrigenæ similis,
Stellatus in picturis,
Non similis mortali generi.

P. λεῖται κατὰ τὸ ὄνομα; οὗτος ὀνομάζεται, Μυκηναῖος τὸ γένος, Ἱππομέδων βασιλεὺς, οἰκεῖ δὲ περὶ τὴν Λέρνην, τὴν ἐν Μυκήναις πηγὴν, ὅ ἐστι τὴν ἐν Ἄργει πηγή. Αἶ αἶ, ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν, γίγαντι γηγενέτᾳ παραπλήσιος, ἀστεροειδὴς τὸ σῶμα καὶ τὴν ἐσθῆτα

S. Cod. D. 126. Γαῦρος] Ἐπηρμένος τῷ σώματι, καὶ διὰ τοῦ σχήματος ἐμφανίζων τὸ αὐθᾶδες τῆς ψυχῆς.——ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Ε΄.—Ἒ, ἔ, ὡς γαῦρος] Ἡ ε΄ αὕτη στροφὴ, κώλων ἐστὶ ς΄. Τὸ α΄ ἰωνικὸν ἀπ' ἐλάττονος, δίμετρον ὑπερκατάληκτον· ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος παίωνος β΄ καὶ συλλαβῆς. Τὸ β΄ τροχαϊκὸν ἰθυφαλλικόν. Τὸ γ΄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ δ΄ τροχαϊκὸν, δίμετρον ἀκατάληκτον. Τὸ ε΄ ἀναπαιστικὸν, δίμετρον, ἀκατάληκτον· εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ σπονδείου· ἐπὶ τῷ τέλει παράγραφος. 128. Γηγενέτᾳ] Ὅτι ἀπὸ τῆς γῆς οἱ Γίγαντες ἀνεφύησαν, ὡς ὁ μῦθος ἔχει τῶν Ἑλλήνων. 129. Ἀστερωπὸς] Ἀστεροειδὴς τὸ σῶμα, καὶ τὴν ἐσθῆτα γραπτός. τοὺς γίγαντας * πρὸς τὸ φοβερὸν αὐτῷ γράφουσιν. ἴσως οὖν καὶ αὐτὸς κατάστικτον ἔχει τὴν πανοπλίαν. τὸ δὲ ἑξῆς, γραπτῷ γίγαντι παραπλήσιος. Διὰ μέσου δὲ τὸ ἀστερωπὸς ἔθηκε, δηλῶσαι θέλων τὸ ὄμμα λαμπρὸν ἔχοντα ὁμοίως ἀστέρι. Ἐν γραφαῖσιν] Ἤγουν ἐν τῷ τύπῳ καὶ χαρακτῆρι τοῦ προσώπου, ἢ τῶν ὅπλων (κατάστικτα γὰρ καὶ ποικίλα ταῦτ' εἶχεν.) ὃ καὶ κρεῖττον· Οὐδεὶς γὰρ ἠδύνατο τὴν τοῦ προσώπου τούτου μορφὴν θεάσασθαι, ἐσκευασμένου τοῖς ὅπλοις. Ἄλλως. Ἀσ-

* Πρὸς τὸ φοβερὸν αὐτῷ] Valck. conjicit πρὸς τὸ φοβερὸν αὐτῶν. *Beck.*

βραχίονα D. *Beck.*

124. γένος] Gl. Cod. D. κατὰ τὴν πατρίδα. *Beck.*

125. Nomina τῶν Ἑπτὰ ἐπὶ Θήβαις hinc incipiunt:

1. *Hippomedon.* 2. *Tydeus.* 3. *Parthenopæus.* 4. *Polynices.* 5. *Amphiaraus.* 6. *Capaneus.* 7. *Adrastus.*

1. *Aristomachi* filius. 2. *Œnei.* 3. *Meilanionis* et *Atalantæ.* 4. *Œdipi* et *Jocastæ.* 5. *Œcleos.* 6. *Hipponei.* 7. *Talai.*

De quibus vid. *Euripid.* Suppl. a v. 863. ad 904. *Hyginum*, l. 2. c. 70, *Statii Thebaida*, et *Æschyli* Tragœdiam Ἑπτὰ ἐπὶ Θήβαις inscriptam, et *Sophocl.* Œdip. ἐπὶ Κολωνῷ, v. 1308. ad v. 1320. et *Apollodori Thebaica*, et poëma ita dictum *Anonymi*; *Eustathium* denique in *Homeri* Iliad. fol. 489. lin. 36. *Barnes.*

126. Versum esse non Ionicum a minore, hoc enim metrum non admittere pæonas secundos, sed glyconium polyschematistum ex epitrito quarto pentasyllabo et choriambo, docet Heath. *Beck.*

127. ss. Brunck. præeunte Cod. Reg. ita disposuit et scripsit:

εἰσιδεῖν, γίγαντι γηγενέτᾳ
προσόμοιος, ἀστερωπὸς
ἐν γραφαῖσιν, οὐχὶ πρόσφορος
ἁμερίῳ γέννᾳ.

ΠΑΙ. Τὸν δ' ἐξαμείβοντ' οὐχ' ὁρᾷς Δίρκης ὕδωρ
Λοχαγόν; ΑΝ. Ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
Τίς δ' ἐστὶν οὗτος; ΠΑΙ. Παῖς μὲν Οἰνέως ἔφυ
Τυδεύς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.
ΑΝ. Οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,

Pæd. Non vides illum, qui trajicit Dirces aquam,
Ducem? *Ant.* Alius, alius est hic armorum modus:
Quis vero est iste? *Pæd.* Filius quidem Œnei est
Tydeus, Martem vero Ætolum in pectore habet.
Ant. Istene Polynicis uxoris, o senex,

P. γραπτὸς, οὐχ ὅμοιος ἀνθρωπίνῃ γεννᾷ, ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει. Οὗτός ἐστιν, ὦ γέρον, τῆς αὐταδέλφης τῆς γυναικὸς τοῦ Πολυνείκους ἀνήρ; ὡς κατὰ τὴν κατασκευὴν τῶν

S. τερσειδὴς καὶ ποικίλος ταῖς γραφαῖς τῆς ἀσπίδος, εἰσὶ γὰρ κατάστικτα τὰ ὅπλα. 131. Τὸν ἐξαμείβοντ'] Κατὰ περικοπὴν ἴαμβοι δ', εἶτα παράγραφος. 132. Ἄλλος ἄλλος] * Θαυμαστὸς ὁ ἀναδιπλασιασμός. 134. Ἄρη δ' Αἰτωλὸν] Ὡς ἔχοντος αὐτοῦ τῆς ἀσπίδος τὸν περὶ τοῦ συὸς πόλεμον. Καλλίμαχος, "† Εἶμι τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα." τινὲς δὲ Ἄρη τὴν τῶν ὅπλων κατασκευήν. Θέλει δὲ εἰπεῖν, ὅτι ἐγχωρίως καθώπλισται, ὡς οἱ Αἰτωλοί· τὸ δὲ στέρνον, ἀντὶ τοῦ ὅλου σώματος εἶπεν. οἱ δὲ τὴν τῶν πολεμίων ἐπιθυμίαν, καὶ τὴν ἐπιστήμην, ὡς τῶν Αἰτωλῶν ἄριστα πολεμούντων.——ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ ϛ'.—135. Οὗτος ὁ τᾶς] Ἡ ϛ' αὕτη στροφὴ κώλων ἐστὶ δ'. Τὸ α' δακτυλικὸν τετράμετρον ἤτοι δίμοιρον ἔπους. τὰ γὰρ δ' δίμοιρα τῶν ἕξ. Τὸ β', ὅμοιον ἐφθημιμερές. Τὸ γ' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου. Τὸ δ', ἴαμβος τρίμετρος. ἐπὶ τῷ τέλει παραγράφος. 137. Ὁμόγαμος] Ὤφειλεν ὅδε λέγειν Σύγγαμβρος,

* Pro θαυμαστὸς Valck. vult. θαυμαστικός. *Beck.*
† Εἰμὶ (B.)] Εἶμι V. et M. ex correctione Bentlei. ad Callim. fr. n. 216. τῶν πολεμίων] Valck. corrigit τῶν πολεμικῶν. *Beck.*

In D. ita:

εἰσιδεῖν γιγ. γηγεν.
προσόμ. ἀστερ. ἐν γραφεῦσιν (sic)
οὐχὶ πρόσφορος ἀμερίων γέννᾳ. *Beck.*

129. ἀστεροπὸς mendose Aldus cum paucis MSS. *Por.*

129. s. γραφαὶ sunt non, *pictæ vestes*, ut Cuperus Obs. 2. 12. interpretatur, sed picturæ, et h. l. quidem, clypei. designatur *clypei stelliferi pictura*, qua insignis erat Hippomedon. vid. v. 1140. s. Valck. Heathius ita versus hos ordinat:

Ἀστερωπὸς ἐν γραφαῖσιν, trochaicus trimeter
οὐχὶ brachycatalectus.
Πρόσφορος ἀμερίων γέννᾳ hephthemimeris
dactylica. *Beck.*

ἀστερωπὸς ἐν γραφαῖσιν] Gestabat enim in Clypeo Argi effigiem, oculis, tanquam stellis, ubique distinctam. vid. v. 1132. et seq. *Musg.*

130. οὐχὶ Ald. et libri plerique. Ex K. οὐ dedit Kingius; qui mox ἀμερίων, sed ἀμερίῳ, quod Aldus et pars codicum tuetur, melius videtur. *Por.*

Ἀμερίῳ γέννᾳ] In priore versione erat *mansuetæ naturæ*, putide satis; cum erat exponendum, ut nos scripsimus, *mortali generi*: Vid. infra, v. 1528. *Homerus* autem huic usui ansam dedit *Odyss.* φ. v. 85.

—— ἐφημέρια φρονέοντες.

Etiam in cod. Leid. 2. ἀμερίων γέννᾳ (quod recepit Valcken.), sed suprascriptum ἀνθρωπίνῃ γεννᾷ. Vertenda hæc cum Grotio, *nil vultu mortale ferens*, monet Valck. et putat poëtæ observatum esse locum Iliad. γ. 190. *Beck.*

Αὐτοκασιγνήτας νύμφας
Ὁμόγαμος κυρεῖ;
Ὡς ἀλλόχρως ὅπλοισι, μιξοβάρβαρος.
ΠΑΙ. Σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ, τέκνον,
Λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.

Ipsam sororem sponsam
Maritus habet?
Quam peregrino colore semibarbarus armis.
Pæd. Sunt enim clypeati omnes Ætoli, o filia,
Et jaculatores, hastis bene collimantes.

S. ἀποδιδοὺς τὸν λόγον πρὸς τὸν Πολυνείκην· ὁ γὰρ τῆς αὐταδέλφης τῆς γυναικὸς αὐτοῦ ἀνὴρ δῆλον ὅτι σύγγαμβρος αὐτοῦ ἐστιν. Ἄλλως. "Ἄδραστος εἶχε θυγατέρας δύο· καὶ τὴν μὲν μίαν τὴν Ἀργείαν εἶχεν ὁ Πολυνείκης· τὴν δ' ἑτέραν ὁ Τυδεὺς, ἤγουν τὴν Δηϊπύλην." Ὁμόγαμος, ἀντὶ τοῦ σύμβιος, παρὰ τὸ ὁμοῦ καὶ ἐπίσης ἄνδρα τε καὶ γυναῖκα τῆς συνουσίας μετέχειν. ἐγάμει δὲ Δηϊπύλην ὁ Τυδεὺς, ὁ δὲ Πολυνείκης τὴν Ἀργείαν. Ἄλλως. Οὗτός ἐστιν, ὦ γέρον, ὁ τῆς αὐταδέλφης τῆς γυναικὸς τοῦ Πολυνείκους ἀνὴρ ὤφειλε. ὁ δὲ λέγει σύγγαμβρος, ἀποδιδοὺς τὸν λόγον πρὸς τὸν Πολυνείκην. ὁ γὰρ τῆς αὐταδέλφης τῆς γυναικὸς αὐτοῦ ἀνὴρ, δηλονότι σύγγαμβρος αὐτοῦ ἐστὶν. Cod. D. 138. Ὡς ἀλλόχρως] Ἴσως ὅτι ἐξηλλαγμένοι οἱ Αἰτωλοὶ περὶ τὰς ὁπλίσεις, καταστίκτους αὐτὰς ἔχοντες, καθάπερ καὶ τοῖς ὑποδήμασιν, ὥστε τὸν δεξιὸν μὲν ὑποδεδέσθαι πόδα, γυμνὸν δὲ ἔχειν τὸν ἀριστερόν. καλῶς δὲ εἶπεν αὐτὸν Μιξοβάρβαρον, ὅτι οἱ Αἰτωλοὶ πάντες ὁπλίζονται, ἀκοντίζουσι δὲ ὡς βάρβαροι. ἴσως γὰρ τότε ἐν τοῖς Θηβαϊκοῖς χρόνοις οἱ μὲν Ἕλληνες ὅπλοις ἐχρήσαντο, οἱ δὲ βάρβαροι ἀκοντίζειν ἠπίσταντο, ὕστερον δὲ καὶ τὸ ἀκοντίζειν Ἕλληνες μεμαθήκασιν. Μιξοβάρβαρος] Ἐν τέλει γὰρ τῆς Εὐρώπης οἰκοῦντες Αἰτωλοὶ Ἑλληνικῶν τε καὶ βαρβαρικῶν ἅπτονται φρονημάτων. ἢ ἐπεὶ δοκοῦσι βαρβαρικὸν φρόνημα ἔχειν, διὰ τοὺς κατ' ἀλλήλων πολέμους. καὶ Ὅμηρος, "Κουρῆτές τ' ἐμάχοντο, καὶ Αἰτωλοὶ μενεχάρμαι." Iliad. I. 525. Μιξοβάρβαρος] Μεμιγμένος δοκῶν τὸ γένος ἐξ Ἕλληνος καὶ Βαρβάρου· ὡς μὲν γὰρ Βάρβαρος ἀκόντια ἔφερε καὶ ἀσπίδα· ὡς δὲ Ἕλλην, δόρυ, καὶ σπάθην, καὶ θώρακα, καὶ κόρυθα· ὑσ-

ἀμερίῳ] *humano*. vid. infra v. 1513. Iphig. Aul. 1341. Sophocl. Antig. 830. Kingius ex MS. Reg. Soc. ἀμερίαν. *Musg.*

131. ἐξαμείβοντα D. *Beck.*

132. λοχαγὸν delevit Kingius auctoritate codicum, et ex K. edidit, ἄλλος γὰρ ἄλλος τοῦδε. Sed et is λοχαγὸν addit a manu secunda, quod retinent Cant. Leidenses et fortasse alii. *Por.*

Kingius, omissa voce Λοχαγὸν, edidit:

Αν. Ἄλλος γὰρ ἄλλος τοῦδε τευχέων τρόπος.

a quibusdam codd. abest voc. λοχαγὸν, nihilominus vulgatam lectionem retinuit V.

In D. excidit vocabulum λοχαγόν. *Beck.*

134. Ἄρην Ald. et fere omnes codices. quod in Ἄρη male mutavit Valckenærius. In Æschyl. Theb. 45. metrum flagitat Ἄρην. *Por.*

Ἄρη e cod. Flor. dedit V.

Ἄρην Αἰτωλὸν] Gl. Cod. D. σκευὴν ὅπλων αἰτωλικήν. Formam Ἄρην illustrat Brunck. ad Æsch. Pers. 84. *Beck.*

135. τῆς D. et mox αὐτοκασιγνήτης νύμφης.

136. Ad vitandum trium genitivorum concursum Reisk. legit αὐτοκασιγνήτα. *Beck.*

136. s. Jungit D. in unum versum. *Beck.*

137. Trochaica penthemimeris. *Heath.*

138. ἀλλόχροος MSS. quidam, quæ forma exstat in anapæsto Hippol. 176. Mox 142. ἐπεγνώρισα M. R. *Por.*

Codd. Leidd. ἀλλόχροος.—Hesych. T. II. p. 560, 21. Μιξοβάρβαρος· οὔτε βάρβαρος, οὔθ' Ἕλλην, ἀλλ' ἀμφοτέρων μετέχων.

ἀλλόχροος D. *Beck.*

139. Τέκνον] Iambice ponitur. Vid. quæ notavimus ad *Phœniss.* v. 19. *Beck.*

ΑΝ. Σὺ δ', ὦ γέρον, πῶς αἰσθάνει σαφῶς τάδε;
ΠΑΙ. Σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἃ προσδεδορκὼς, οἶδα τοὺς ὡπλισμένους.
ΑΝ. Τίς δ' οὗτος ἀμφὶ μνῆμα τὸ Ζήθου περᾷ,
Καταβόστρυχος, ὄμμασι γοργὸς
Εἰσιδεῖν, νεανίας;

Ant. Tu vero, o senex, quomodo scis certo hæc?
Pæd. Videns signa clypeorum tunc notavi,
Quando veni, fidem publicam ferens tuo fratri,
Quæ intuens, novi armatos.
Ant. Quis vero iste, qui circa monimentum Zethi transit
Comatus, oculis
Terribilis, et aspectu juvenis?

8. τερον δὲ καὶ Ἕλληνες ἀκοντίοις ἐχρήσαντο. 143. Σπονδὰς] Τὰς τῇ διαλλαγῇ ἀγγελίας. 145. Ἀμφὶ μνῆμα τοῦ Ζήθου] Οὗτος ὁ Ζῆθος, ὡς ἔφαμεν, τειχιστὴς ὢν τῶν Θηβῶν, μεγάλου καὶ ἐπισήμου τάφου, ἠξιώθη. Ἀμφὶ μνῆμα τοῦ Ζήθου] Κοινὸς μὲν ἀμφοῖν ὁ τάφος Ζήθου καὶ Ἀμφίονος. συλληπτικῶς δὲ εἶπε. τινὲς δὲ φασὶ τὸν Ἀμφίονα.* —— ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Ζ'. — Τίς δ' οὗτος ἀμφὶ μνῆμα] Ἡ ζ' αὕτη στροφὴ κώλων ἐστὶ ε'. Τὸ α' ἴαμβος τρίμετρος. Τὸ β' ἀναπαιστικὸν [† δίμετρον βραχυκατάληκτον, εἰς δισσύλλαβον.] Τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δ' ὅμοιον τῷ πρώτῳ. Τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, ἐπὶ τῷ τέλει παράγραφος. 146. Καταβόστρυχος] Πυκνοὺς καθειμένος βοστρύχους. 147. Γοργὸς εἰσιδεῖν] Γοργῶδες ἀποβλέπων τοῖς ὄμμασι, καὶ ἅμα καὶ τῶν βοστρύχων παρειλίττων τοῖς ὀφθαλμοῖς τὸ γοργωπῶδες. 149. Ἀμφέπει] Ἐπακολουθεῖ αὐτῷ ὄχλος πολὺς ὀπισθόπους. τινὲς δὲ ἐπὶ κατάρας αὐτὸ δέχονται, οἷον ἐσχάτῳ ποδὶ, καὶ μηκέτι ὑποστρέφοντι ἵν' ᾖ, ὡς ὄχλος νιν ἀμφέπει ἐπὶ

* Valck. putat, Grammaticum hic forte Æschyli meminisse. *Beck.*
† Hæc verba uncis inclusit M. est enim in iis error, cum versus sit μονόμετρος ὑπερκατάληκτος. Etiam verba εἰ δὲ βούλει ἰωνικὸν—ἰάμβου post τὸ ε. ἰαμβ. δ. βρ. omiserunt King. M. et V. Si legeretur—ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ, καὶ ἰάμβου, nihil causæ esse, cur rejicerentur, monet Valck. *Beck.*

152. Cod. Flor. Σημεῖον ἰδὼν τόδ'. *Beck.*

143. Σπονδὰς, etc.] Vid. de hac re Argumentum hujus Fabulæ.

Valck. observavit, hunc versum jam supra v. 97. lectum esse, neque tamen eum hinc ejici posse, quamvis constet, histriones non raro versus perperam repetiisse.

Scribendum φέρων. *Beck.*

146. τοῦ omittit Cant. cui τὸ substituunt C. K. L. M. R. et ex emendatione J. Sic etiam edidit Valckenærius ex Leidensibus MSS. Recte. Articulum raro propriis nominibus præfigunt Tragici, nisi propter emphasin quandam, aut initio sententiæ, ubi particula inseritur, ut infra 522. Suppl. 129. In Sophoclis Phil. 1357. πῶς τῷ πανώλει παιδὶ τοῦ Λαερτίου; Aldus et MSS. recte τῷ. Ibid. 677. Τὸν πελάταν λέκτρων ποτὲ τοῦ Διός. Omittunt τοῦ Ald. et MSS. Lege τῶν. Raro, dicebam, non enim nunquam, ut statuere videtur Valckenærius ad hunc locum. *Por.*

E codd. Leidd. V. edidit τὸ Ζήθου pro τοῦ Z. *Beck.*

146. γοργός τ' codices nonnulli. *Por.* Ita edidit Beckius,

Καταβόστρυχος, ὄμμασι.

Ionicus a minore dimeter catalectus ex Ionico pentasyllabo et καταληκτικῷ trochai-

ΠΑΙ. Λοχαγός. ΑΝ. Ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
Πάνοπλος ἀμφέπει.
ΠΑΙ. Ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.
ΑΝ. Ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος
Ἄρτεμις ἱεμένα,
Τόξοις δαμάσασ' ὀλέσειεν,
Ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.

Pæd. Anne dux? *Ant.* Quippe multitudo ipsum sequens
Armata circundat.
Pæd. Hic est *Parthenopæus* Atalantæ filius.
Ant. Sed eum per montes cum matre *ejus Atalanta*
Properans Diana,
Telis domans, perdat,
Qui adversus meam urbem venit eam expugnaturus.

S. Scholia. 150. Ἀταλάντης γόνος] Αὕτη ἐστὶ ἡ Ἰάσου μὲν παῖς, Μειλανίωνος δὲ γυνή· ἔστι δὲ καὶ ἄλλη, Σχοινέως θυγάτηρ, Ἱππομένους γυνή, Βοιωτική. Ὅδ' ἐστὶ] Κατὰ περικοπὴν ἴαμβος, εἶτα παράγραφος. 151. Ἀλλά νιν] Ἀλλ' εἴθε ἡ Ἄρτεμις ἡ κατὰ τὰ ὄρη μετὰ τῆς μητρὸς αὐτοῦ διατρίβουσα ὀλέσειεν αὐτὸν, τόξοις δαμάσασα. Ἀλλά νιν] Ἀλλ' αὐτὸν ἀπολέσειεν ἡ Ἄρτεμις, ἡ μετὰ τῆς μητρὸς αὐτοῦ κυνηγετοῦσα. εἰκότως δὲ τὴν Ἄρτεμιν κατ' αὐτοῦ ἐπικαλεῖται, ὡς θυμουμένην κατὰ τῆς Ἀταλάντης· ἐπεὶ πρότερον τὴν παρθενίαν ἠγάπα· ὕστερον δὲ τῷ Μειλανίωνι γαμηθεῖσα, κατεφρόνησε τῆς Ἀρτέμιδος. αὕτη δέ ἐστιν ἡ καὶ Μελεάγρῳ συγκυνηγετήσασα. Ἄλλως. Εἰκότως Ἄρτεμιν Ἀντιγόνη κατὰ τοῦ Παρθενοπαίου ἐπιβοᾶται, ὡς θυμουμένην κατὰ τῆς τούτου μητρὸς Ἀταλάντης· ἱέρεια γὰρ οὖσα πρότερον τῆς θεοῦ, καὶ ἐν παρθενίᾳ ζῆν αἱρουμένη, ἔφθαρται Μειλανίωνι· καὶ ὑπὸ τῆς Ἀρτέμιδος πλείστης πεπειραμένη, ἀπηξίωται τῆς πρὸς αὐτὴν ὑπηρεσίας. Cod. Leid. ——ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Η'. Baroc. 74.—Ἀλλά νιν ἁ κατ' ὄρη] Ἡ η' αὕτη στροφὴ κώλων ἐστὶ δ'. Τὸ α' δακτυλικὸν τετράμετρον ἤτοι δίμοιρον ἔπους. Τὸ β' ὅμοιον πενθημιμερές. εἰ δὲ βούλει τὸ ι' βραχὺ, ἔστω παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος α' καὶ ἀντιπαίστου. Τὸ γ' ὅμοιον τὸ α'· καταληκτικὸν εἰς δισσύλλαβον. Τὸ δ' προσῳδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου, παίωνος δ' ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ σπονδείου· ἐπὶ τῷ τέλει παράγραφος. 155. Εἴη

ea. Heath. Valck. ita interpunxit: καταβόστρυχος, ὄμμασι γοργὸς, εἰσιδεῖν νεανίας, cum King. quoque et cod. Leid. τ' ante εἰσιδεῖν sustulit. *Beck.*

147. ἐσιδεῖν D. τ' post γοργὸς omisit Brunck. post γοργὸς comma posuit, et εἰσιδεῖν cum νεανίας junxit. *Beck.*

148. ὅσος ὄχλος conjecit Valckenærius, edidit Brunckius. Non video, quare Antigone minus bene dicere potuerit, *Ut turba eum sequitur!* quam, *Quanta turba eum sequitur! Por.*

Battierius ob schol. metricum volebat voc. Λοχαγὸς deleri. Tuetur illud Valck., sed pro ὡς, quod non addi soleat apud tragicos verbis, sed tantum substantivis, eo sensu, ut sit *quantum*, legit ὅσος. ὅσος ὄχλος cum Valck. edidit Brunck. *Beck.*

152—154. Ita edidit Beckius,

Ἄρτεμις ἱεμένα, τόξοις δαμάσασα,
Ὀλέσειεν, ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.

152. ἱεμένα Gl. Cod. D. διατρίβουσα. Brunck. ita distinxit:

Ἄρτεμις ἱεμένα
Τόξοις δαμ. ὀλέσ.
Ὃς ἐπ' ἐμὰν—πέρσων. *Beck,*

ΠΑΙ. Εἴη τάδ', ὦ παῖ, ξὺν δίκῃ δ' ἥκουσι γῆν·
Ὃ καὶ δέδοικα μὴ σκοπῶσ' ὀρθῶς θεοί.
ΑΝ. Ποῦ ποῦ δ' ὃς ἐμοὶ
Μιᾶς ἐγένετ' ἐκ ματέρος
Πολυπόνῳ μοίρᾳ,

Pæd. Sint hæc, o filia; jure tamen veniunt in hanc terram:
Idcirco etiam metuo, ne recte considerent dii.
Ant. Ubi est ille qui mecum
Una natus est ex matre
Laborioso fato?

P. ὅπλων μεμιγμένος Ἕλλην καὶ βάρβαρος; ——— ΑΝΤΙΓ. Ποῦ ὑπάρχει, ὃς ἐγένετο ἐμοὶ ἐκ μιᾶς μητρὸς, ἐν πολυπόνῳ καὶ πολυωδύνῳ μοίρᾳ καὶ τύχῃ; ὦ φίλτατε γέρον, εἰπὲ, ποῦ

S. τάδ'] Κατὰ περικοπὴν ἴαμβοι β', εἶτα παράγραφος. 156. Ὧ, καὶ δέδοικα] Διὸ καὶ εὐλαβοῦμαι, μὴ * τοῦτο δίκαιον σκοπήσαντες οἱ θεοὶ ἀπολέσωσιν ἡμᾶς. 157. Ποῦ δ' ὃς ἐμοὶ] Παρὰ τὸ Ὁμηρικὸν, "Δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν." δὶς δὲ παρέλαβε τὸ Ποῦ, τὴν σπουδὴν τῆς κόρης παριστῶν. Πολυπόνῳ δὲ μοίρᾳ, ἤτοι κακομοιρίᾳ· τῷ γὰρ ἐπιθέτῳ διέστειλε τὸ της μοίρας † ὂν τὸ μέσον.—ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ. Θ'.—Ποῦ δ' ὃς ἐμοὶ] Ἡ θ' αὕτη στροφὴ κώλων ἐστὶ δ'. Τὸ α' χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου· εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς, δακτύλου ἀρχομένου. Τὸ β' παιωνικὸν, δίμετρον, καταληκτικὸν, ἐκ παίωνος δ' καὶ δακτύλου, κρητικοῦ διὰ τὸ ἀδιάφορον. Τὸ γ' ὅμοιον ἡμιόλιον. Τὸ δ' ἴαμβος τρίμετρος. ἐπὶ τῷ τέλει παράγραφος. 161. Ἑπτὰ παρθένων] Ὁ Ἀριστόδημος οὐδαμοῦ ἐν ταῖς Θήβαις φησὶ τῶν Νιοβιδῶν εἶναι τάφον, ὅπερ ἐστὶν ἀληθὲς, ὡς αὐτοσχεδιάζειν οὖν ἔοικεν Εὐριπίδης. περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησί. "——— καὶ δὶς ἑπτ' αὐτῆς τέκνα Νιόβης, θανόντα Λοξίου τοξεύμασιν." ὅμως καὶ Αἰσχύλος ἐν Νιόβῃ, καὶ Ἀριστοφάνης δὲ ἐν δράματι Νιόβης, ὁμοίως Ζ' αὐτὰς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄῤῥενας. Τιμαγόρας δὲ ἐν τοῖς Θηβαϊκοῖς φησὶν, ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ Σπαρτοὶ, ἀνεῖλον αὐτοὺς λοχήσαντες, ἀπιόντας εἰς Ἐλευθερὰς ἐπὶ ‡ πατρικὴν οὐσίαν, τὴν δὲ Νιόβην εἴασαν ζῆν διὰ

* Τοῦτο δίκαιον] Valck. emendat. τὸ τούτων δίκαιον. *Beck.*
† Ὂν τὸ μέσον] Valck. conjicit, ὄνομα τὸ μέσον. *Beck.*
‡ Πατρικὴν οὐσίαν[Valck. legi jubet π. θυσίαν. ibid. Ἀλαλκομενέα] King. Ἀλκομενέα. In marg. cod. Leid. sic: φασὶ δὲ τὰ μὲν τῶν ἀῤῥένων ὀνόματα, Ἀλκομενέα, Φηρέα,

153. τόξοισιν Kingius ex *optimo* suo codice. Si quis ex 152, 153. unum hexametrum faciet, me non habebit repugnantem. Deinde γ' delevi cum Brunckio, quod Kingius ex conjectura addiderat. δαμάσσασα Ald. *Por.*

Ὠλέσειεν D. In verbis ὃς ἐπ' ἐμὰν non nferendam esse inertem et metro repugnantem particulam docuit Br. ad h. l. *Beck.*

155. γε a Kingio interpolatum (quod etiam ap. Valck.) metrum perdit, non adjuvat. Pæon enim quartus ionici a minore vice fungi non potest. Legendum: Ὃς ἐπ' ἐμὰν—Antispasticus est dimeter acatalectus ex duobus antispastis, priore hexasyllabo. *Heath.*

156. ᾧ καὶ Ald. sed alterum fere omnes MSS. *Por.*

ὃ καὶ δεδ. D. et Cod. Reg. atque ita Br. edidit. *Beck.*

ὃ καὶ δέδοικα] MSS. nonnulli cum Ed. Ald. ᾧ καὶ δέδοικα, minus recte. *Musg.*

ὃ non positum pro διὸ, sed referendum ad σκοπῶσι, et distinctio post δέδοικα tollenda. *Valck.*

157. ποῦ semel tantum codices quidam, ut edidere Kingius et Valckenærius. ποῖ ποῖ δ' ex membranis suis Brunckius. *Por.*

158. s. King. e cod. suis, quibuscum consentiunt Leidd. edidit:

Ποῦ δ' ὃς ἐμοὶ μιᾶς
Ἐγένετ' ἐκ ματέρος.

Ὦ φίλτατ', εἰπὲ ποῦ 'στὶ Πολυνείκης, γέρον;
ΠΑΙ. Ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης, Ἀδράστῳ πλησίον παραστατεῖ.
Ὁρᾷς; ΑΝ. Ὁρῶ δῆτ' οὐ σαφῶς, ὁρῶ δέ πως
Μορφῆς τύπωμα, στέρνα τ' ἐξῃκασμένα.

O charissime senex, dic ubi sit *Polynices*.
Pæd. Ille prope sepulchrum septem virginum
Niobes stat, prope Adrastum.
Vides? *Ant.* Video, sed non satis clare: video tamen aliquo modo
Simulacrum formæ ipsius, et pectus adumbratum.

P. ἐστὶν ὁ Πολυνείκης. ΠΑΙΔΑΓ. Ἐκεῖνος, πλησίον τοῦ τάφου τῶν ἑπτὰ παρθένων τῆς Νιόβης, παρίσταται τῷ Ἀδράστῳ· ὁρᾷς; ὁρῶ κατά τινα τρόπον χαρακτῆρα τοῦ προσώπου ἐκείνου, καὶ

S. Πέλοπα· ἄλλοι δὲ ἄλλως ἱστοροῦσι περὶ αὐτῆς. ὁ μὲν γὰρ Φερεκύδης φησὶν, αὐτὴν ἔχειν παῖδας ϛ', Ἀλαλκομένεα, Φηρέα, Εὔδωρον, Λύσιππον, Ξάνθον, Ἀργεῖον. θυγατέρας δὲ ϛ', Χιόνην, Κλυτίαν, Μελίαν, Ὤρην, Λαμίππην, Πελοπίαν. Ἑλλάνικος δὲ ἐν τῇ ἐπιγραφῇ, Ἀτλαντίδος, ἄρσενας Δ' φησὶ, Ἀρχήνορα, Μενέστρατον, Ἀρχαγόραν. θυγατέρας δὲ τρεῖς, Ὠγυγίαν, Ἀστυκράτειαν· Ξάνθος δὲ ὁ Λύδιος, δέκα καὶ δέκα ἐκ Φιλοξένου τοῦ Ἀσσυρίου, ὃς ᾤκει ἐν Σιπύλῳ. Ἐκεῖνος] Κατὰ περικοπὴν ἴαμβοι δ', εἶτα παράγραφος. 162. Νιόβης] Νιόβη, παίδων θηλειῶν ἓξ καὶ ἀῤῥένων τοσούτων καταστᾶσα μήτηρ, διότι πρὸς Λητὼ ἐμεγαλαυχήσατο, εὐδαιμονεστέραν ἐκείνης ἑαυτὴν λέγουσα, δύο ἐχούσης, ὑπὸ τῶν παίδων Λητοῦς Ἀπόλλωνος καὶ Ἀρτέμιδος βέλεσι τρωθέντα τὰ τέκνα ἀπώλεσε, καὶ Ζεὺς θρηνοῦσαν οἰκτείρας εἰς λίθον μετάγει.—Ἄλλοι δὲ φασὶν, ὧν καὶ Εὐριπίδης, ὡς ἑπτὰ θηλείας καὶ ζ' ἄῤῥενας ἔτεκεν. Ἀδράστῳ πλησίον] Εἰκότως τούτῳ παρίσταται, καὶ τοῦτον θεραπεύει, δι' οὗ τὴν * ὡς τὴν πατρίδα κάθοδον προσεδόκα αὐτῷ γίνεσθαι. Πλησίον] Περισσὸν τὸ πλησίον, τὸ γὰρ παρίσταται τὸ πλησίον ἵσταται δηλοῖ. 164. Μορφῆς τύπω-

Εὔδωρον, Λύσιππον, Ξάνθον, Ἀργεῖον· τὰ δὲ τῶν θηλειῶν, Κιόνην (sic et edd, Χιόνην scripsit Barn.) Κλυτίαν, Μελίαν, Αἶραν, Λαμείππην, καὶ Πελοπίαν· ibid. ἐν τῇ ἐπιγραφῇ Ἀτλ.] Valck. conjicit: ἐν τῇ ἐπιγραφομένῃ Ἀτλαντίδι vel Ἀτλαντιάδι. ibid. Μενέστρατον] nomen hic unum deest. Simile compositum nomen Δαμασίχθων memoratur Apollodoro et Ovid. in ibid. 583. Post Ἀστυκράτειαν forte supplendum Ἀστυνόμην ex Hygin. f. 69. E Valck. Not. Idem Valck. mox pro Φιλοξένου corrigit Φιλόττου, quod fuit nomen marito Niobes. *Beck.*
* Ὡς τὴν πατρίδα] Aug. τὴν εἰς πατρίδα rectius judice Valck. *Beck.*

Sed Heath. vulgarem scripturam præfert, quod reduplicatum ποῦ Antigonæ impatientiam ex fraterno amore ortam melius depingat, et ita constituit:

Ποῦ, ποῦ δ' ὅς ἐμοὶ — basis anapæstica.
Μιᾶς ἐγένετ' ἐκ ματέρος; — iambicus dimeter acatalectus.

158. Ποῖ, ποῖ δ' e Cod. Reg. Brunck. exhibuit. In D. semel tantum ποῦ legitur, et huic versui sequens adjungitur.

159. Trochaica penthemimeris. *Heath.*

161. Ἑπτὰ παρθένων Νιόβης] De Numero *Niobidarum* præter *Scholiasten* vide *Ovidii* Metamorph. l. 6. Fab. 4. *Apollodori* Biblioth. l. 3. c. 5. §. 6. *Æliani* Var. Hist. l. 12. c. 36. *Hygini* Fab. XI. *Parthenii*, c. 33. *Agellii* Noct. Attic. l. 20. c. 7. Epitaphium *Niobæ* eleganter lusit *Agathias*:

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν.
Ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον.
Ἀλλ' αὐτὸς αὐτῷ νεκρός ἐστι καὶ τάφος.

Barnes.

162. Ad πλησίον in D. notatur: περισσόν. τὸ γὰρ παρίσταται τὸ πλησίον δηλοῖ. *Beck.*

163. οὐ σαφὲς D.

164. ἐξῃκασμένα, Atticam formam, ex monitu Valckenærii pro ἐξεικασμένα reposuit Brunckius. Julian. Orat. VIII. p. 247. D. οὐχὶ σαρκία καὶ νεῦρα καὶ μορφῆς.

Ἀνεμώκεος εἴθε δρόμον νεφέλας
Ποσὶν ἐξανύσαιμι δι᾽ αἰθέρος
Πρὸς ἐμὸν ὁμογενέτορα·
Περὶ δ᾽ ὠλένας δέρᾳ φιλτάτᾳ
Βάλοιμι χρόνῳ φυγάδα μέλεον.
Ὡς ὅπλοισι χρυσέοισιν ἐκπρεπὴς, γέρον,
Ἑῴοις ὅμοια φλεγέθων

Velocis utinam cursum nubis
Pedibus conficere possem per aërem
Ad meum fratrem,
Brachia enim circum collum amicissimum
Jacerem, longo post tempore, exulem miserum.
Armis aureis quam decorus est, o senex,
Matutini fulgurans sicut

P. *στέρνα ἐξωμοιωμένα τοῖς στέρνοις ἐκείνου. Εἴθε τοῖς ποσὶν ἠδυνήθην τελέσαι δρόμον νεφέλης ταχείας διὰ τοῦ ἀέρος, πρὸς τὸν ἐμὸν ἀδελφὸν τὸν φυγάδα τὸν ἄθλιον, περιέβαλον δὲ διὰ χρόνου τὰς ἐμὰς ὠλένας τῇ δέρῃ αὐτοῦ τῇ φιλτάτῃ. ὡς εὐπρεπὴς, ὦ γέρον, ἐστὶν, ἤγουν εὔσταλος, ἐν ὅπλοις χρυσοῖς, λάμπων ὁμοίως ταῖς ἑωθιναῖς ἀκτῖσι τοῦ ἡλίου. Ἥξει εἰς τούσδε τοὺς*

S. *μα] Χαρακτῆρα τοῦ προσώπου ἐκείνου, καὶ στέρνα ἐξωμοιωμένα τοῖς στέρνοις ἐκείνου.* 165. *Ἀνεμώκεος εἴθε] Εἴθε δρόμον νεφέλας ἐξανύσαιμι ποδὶ δι᾽ αἰθέρος πρὸς ἐμὸν ὁμογενέτορα, φυγάδα μέλεον, περὶ δ᾽ ὠλένας βάλλοιμι τῇ φίλῃ δέρῃ, διὰ χρόνου γάρ· αὕτη δὲ ἡ σύνταξίς ἐστιν, ἐὰν μὴ ἔγκειται τὸ, ὡς ἴδον. ἐὰν δὲ ἔγκειται τὸ, ὡς ἴδον, οὕτω συντακτέον, χρόνῳ φυγάδα μέλεον ὡς ἴδω.*—ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Ι΄.—*Ἡ ι΄ αὕτη στροφὴ ἑτέρως μέν ἐστιν ἐσχηματισμένη, ὡς ἄνω τεθέντος τοῦ προσώπου. κώλων δέ ἐστιν η΄. Τὸ α΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ β΄ ὅμοιον καταληκτικὸν εἰς δισσύλλαβον. Τὸ γ΄ ὅμοιον πενθημιμερὲς ἐκ β΄ προκελευσματικῶν. Τὸ δ΄ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος τρίτου, ἀντὶ ἰωνικοῦ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β΄ καὶ ἰάμβου. Τὸ ε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰάμβου καὶ ἀναπαίστου, καὶ δύο χορείων· εἰ δὲ βούλει, ἰωνικὸν, τρίμετρον, καταληκτικὸν, ἐκ παιώνων β΄ καὶ α΄, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χορείου. Τὸ ϛ΄ τροχαϊκὸν τριμετρὸν, ὑπερκατάληκτον, Στησιχόρειον. Τὸ ζ΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ β΄ ἀντισπάστων καὶ ἰάμβου. Τὸ η΄ ὅμοιον ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.* 171. *Ἑῴοις ὅμοια] Ταῖς ἑωθιναῖς βολαῖς τοῦ ἡλίου ἐοικώς.*

τύπωμα στέρνων τε ἐξείκασμα πρὸς ἀρχέτυπον σώματος. Ubi Nostri locum contulit Wyttenbachius Epist. Crit. p. 23.

Valck. malebat hic formam Atticam *ἐξῃκασμένα* legi.

Gl. Cod. D. *χαρακτῆρα τοῦ προσώπου ἐκείνου, καὶ στέρνα ἐξωμοιωμένα τοῖς στέρνοις ἐκείνου.* *Beck.*

165. *Ἀνεμώκεος] παρὰ τὸ ἄνεμος καὶ ὠκύς.* Strophen hanc ita disponit D.

ἀνεμώκεος — ποσὶν
ἐξανύσ. — ἐμὸν
ὁμογενέτ.—ὠλένας
δέρῃ φιλτάτῃ (sic) -τ (*μέλεον* omittit)
ὡς — γέρον
ἑῴοις — ἀελίου.

Cæterum in ed. Br. hæc et præcedentia non stropharum nomine insigniuntur. *Beck.*

Hinc Seneca Phœniss. 420. *Quis me procellæ turbine insanæ vehens Volucer per auras ventus ætherias aget?* *Valck.*

166. Versus videtur esse dactylicus tetrameter ita corrigendus: *Ποσσίν γ᾽ ἐξανύσαιμι δι᾽ αἰθέρος.* *Heath.*

168. s. *δέρῃ φιλτάτῃ βάλοιμι* D. Etiam. Br. edidit *βάλοιμι. μέλεον* autem in D. excidit. *Beck.*

169. *βάλλοιμι* Ald. *βάλοιμι* Leid. A. C. Cant. D. M. *Por.*

Βολαῖσιν ἀελίου.
ΠΑΙ. Ἥξει δόμους τούσδ', ὥστε σ' ἐμπλῆσαι χαρᾶς,
Ἔνσπονδος, ΑΝ. Οὗτος δ', ὦ γεραιὲ, τίς κυρεῖ,
Ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;
ΠΑΙ. Ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε·
Σφάγια δ' ἅμ' αὐτῶι, γῆς φιλαιμάτου ῥοαί.
ΑΝ. Ὦ λιπαροζώνου θύγατερ

Radii solis,
Pæd. Veniet ad hanc domum, ut te expleat gaudio,
Fide publica accepta. *Ant.* Iste vero, o senex, quis est,
Qui currum candidum gubernat, cui insidet?
Pæd. Est vates *Amphiaraus*, o domina, hic :
Victimæ vero cum eo, cædem-amantis telluris inferiæ.
Ant. O splendidam zonam habentis filia

P. δόμους ἠσφαλισμένος σπονδαῖς, ὥστε πληρῶσαί σε χαρᾶς. οὗτος δὲ, ὦ γεραιὲ, τίς ὑπάρχει, ὃς ἵππους λευκοὺς ἡνιοχεῖ ἐπιβεβηκώς; Οὗτός ἐστιν ὁ μάντις Ἀμφιάραος· ζῶα δὲ ἐν τῷ ἅρματι αὐτοῦ ἐπὶ τὸ σφαγιασθῆναι καὶ ῥεῦσαι τὸ αἷμα αὐτῶν προσφιλῶς τῇ γῇ. Ὦ Σελήνη,

S. 173. Ἥξει δόμους] Κατὰ περικοπὴν ἴαμβοι ε', εἶτα παράγραφος. 174. Ἔνσπονδος] Τὸν Ὁμηρικὸν δὲ Μενέλαον μιμεῖται Εὐριπίδης, ὑπόσπονδον Πολυνείκην ἄγων εἰς τὰς Θήβας, ὡς ἐκεῖνος εἰς τὴν Ἴλιον εἰσῆλθε καταθησόμενος τὸν πόλεμον. Ἔνσπονδος] Ἤγουν ἠσφαλισμένος σπονδαῖς, φιλικός. 175. Ἅρμα λευκὸν] Λευκὸν τὸ ἅρμα φησὶ διὰ τοὺς ἵππους· ἐκ γὰρ τῶν ἵππων τὸ ἅρμα λέγει. 177. Σφάγια δ' ἅμ' αὐτῷ] * Σφάγια μὲν τὰ ἱερὰ, Ῥοαὶ δὲ σπονδαί. ἢ οὕτως· ὧν τὸ αἷμα τῆς γῆς ῥοαὶ γίνεται, ἢ ὧν τὸ αἷμα συμβαίνει παρὰ τὴν γῆν ἐκχεῖσθαι. τὸ γὰρ Φιλεῖν, καὶ ἐπὶ τοῦ συμβαίνειν τάττεται. Ἄλλως. Ὅτι ἐν τῷ ἅρματι ἔφερεν αὐτοῦ ὁ Ἀμφιάραος ζῶα ἕτοιμα εἰς σφαγὴν, ἵνα, ὅτ' ἐδόκει αὐτῷ καλὸν, ἀποσφάξῃ, καὶ μαντεύηται δι' αὐτῶν, δῆλον ἀφ' ὧν λέγει ἔμπροσθεν, "εἰς δὲ Προιτίδας Πύλας ἐχώρει, σφάγι' ἔχων ἐφ' ἅρμασιν —— Ἀμφιάραος." † Ἄλλως. Τὸ ἐπίθετον τῆς γῆς ἐπὶ τὰ σφάγια μετήγαγεν. οἱ δὲ γράφουσι, γῆς φιλαιμάτου, οἱ δὲ τὸ τέλειον φιλαιμάτοιο λέγουσιν. 178. Λιπαροζώνου] Εὐπρεπεστάτου. Θύγατερ ἀελίου] Ἡσίοδος φησὶν,

* Σφ. μὲν τὰ ἱερὰ] — τὰ ἱερεῖα cod. August. Scribendum præterea: σπονδαὶ δὲ αἱ ῥοαί. *Valck.*

† Valck. monet huic scholio præfigi debuisse Φιλαίματοι. *Beck.*

Βάλοιμι Valcken. recepit ex Schol. et Leid. 1. Versus, auctore Heath. est antispasticus dimeter acatalectus ex epitrito primo pentasyllabo, et antispasto hexasyllabo. *Beck.*

170. Hunc versum facili negotio senarium efficias: ὡς χρυσέοις ὅπλοισιν. Sed nihil necesse. Vide ad Orest. 1513. ἐκπρεπὴς habet MS. Flor. εὐπρεπὴς Ald. et plures MSS. εὐτρεπὴς M. R. Mox. ἑῴοισιν Kingius ex K. *Por.*

ἐκπρεπής, *insignis*, etiam Valck. præferebat, et sæpe in εὐπρεπὴς mutatum ostendit. *Beck.*

ἐκπρεπὴς,] Ita MS. Flor. Vulgo εὐπρεπής. *Musg.*

171. Ἑῴοισιν ex uno cod. et metri causa posuit King. Eum sequitur V. Mox in Leid. 2. perperam φλογέθων et in Flor. βολεῖς. *Beck.*

173. ἐκπλῆσαι] Ald. ἐμπλῆσαι codices plerique. *Por.*

Pro ἐκπλῆσαι Valck. e codd. Kingii, Leid. 1. et Flor. dedit ἐμπλῆσαι, spe vel gaudio implere nunquam dicitur ἐκπλῆσαι, semper ἐμπλῆσαι. Quia ἔνσπονδος pertinet ad priora Ἥξει δόμους τούσδ', Valck. post χαρᾶς comma posuit.

σ' ἐμπλῆσαι D. et Cod. Reg. quod Br. recepit. *Beck.*

174. τίς; πόθεν κυρεῖ; Ald. Cant. J. L. Flor. Leid. B. πόθεν omittunt Grot. K. τίς

Ἀελίου Σελαναία,
Χρυσεόκυκλον φέγγος,
Ὡς ἀτρεμαῖα κέντρα
Καὶ σώφρονα πώλοις

Solis Luna,
Aureo circulo decorum lumen,
Quam quietos stimulos
Et modestos equis

P. θύγατερ ἀελίου τοῦ χρυσοειδοῦς καὶ καθαροῦ, λίαν ἡσύχως καὶ εὐτάκτως τὴν μάστιγα ἔνθεν

S. ἀδελφὴν ἡλίου εἶναι τὴν Σελήνην. "Θεία δ' Ἠελιόν το μέγαν, λαμπράν τε Σελήνην —— Γείνατο." Theog. 371. Αἰσχύλος δὲ, καὶ οἱ φυσικώτεροι φασὶν, ὅτι θυγάτηρ, παρόσον ἐκ τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει, ἀμέλει καὶ πρὸς τὰς ἡλιακὰς ὑποστάσεις μεταμορφοῦται ἡ σελήνη. Ἄλλως. Κατὰ μὲν τὴν μυθικὴν ἱστορίαν ἀδελφὴ ἡλίου ἡ Σελήνη. (ἄμφω γὰρ ἐκ Λητοῦς καὶ Διὸς) κατὰ δὲ τὸν φυσικὸν λόγον θυγάτηρ, ἐκεῖθεν, ὥσπερ ἐκ πηγῆς, ἀρυομένη τὸ φῶς.—ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ ΙΑ'.—Ὦ λιπαροζώνου θύγατερ] Ἡ ια' αὕτη στροφὴ, ἑτέρως μέν ἐστιν ἐσχηματισμένη κατὰ τὸ τέλος· κῶλα δέ ἐστιν ἕξ. Τὸ α' δακτυλικὸν ἑφθημιμερές. Τὸ β' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἐπιτρίτου α'. Τὸ γ' ὅμοιον καταληκτικόν· εἰ δὲ βούλει, δακτυλικὸν, τρίμετρον, ἀκατάληκτον. Τὸ δ' ὅμοιον ἐκ χοριάμβου καὶ ἀμφιβραχέος· εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερές. Τὸ ε' ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον. εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερὲς τοῦ β' ποδὸς ἀναπαίστου. Τὸ ϛ' παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος δ' καὶ

M. R. κυρεῖ C. Leid. A. et alii. Ultima lectio per se bona, sed responsum non congruit. Natum ex v. 122. recte censet Valckenærius. *Por.*

Ἔνσπονδος] Hic versus unico pede redundat: vid. *Canter.* qui de duobus ultimis vocalibus alterutrum tolli censet, præsertim verò ultimum. Et ita quidem MS. C.C.C. τὸ κυρεῖ rejicit. *Barnes.*

Valck. cum King. et Grot. edidit τίς κυρεῖ; In cod. Leid. 2. et Flor. est, ut vulgo, τίς; πόθεν κυρεῖ; sed in Leid. 1. Cantabr. τίς; πόθεν; omisso verbo κυρεῖ: atque hanc lectionem post Canterum et alios assensu probavit Heath. qui κυρεῖ glossema esse putat voc. πόθεν. Contra Valck. opinatur, πόθεν huc irrepsisse c. v. 122. et responsionem tantum congruere quæstioni τίς κυρεῖ docet.

κυρεῖ omittit D. rectius. Br. edidit: τίς κυρεῖ; *Beck.*

176. ὧδε. sed super ω scriptum ὅ, D. *Beck.*

177. φιλαίματοι Ald. et multi MSS. Cum aliis Grot. φιλαιμάτου. Pro ῥοαὶ codices quidam ῥοαῖς. χοαὶ est emendatio Musgravii, a Brunckio recepta. *Por.*

φιλαίματοι] al. φιλαιμάτου, et φιλαιμάτοιο· quod ultimum minus omnium placet. Versus enim est *Iambicus.*

ἅμ' αὐτῷ D. Mox Br. recepit in texta Musgr. emendationem: γῆς φιλαιμάτου χοαί. In D. et Cod. Reg. ut vulgo. Unde Kingius φιλαιμάτου duxerit, incertum est. *Beck.*

γῆς φιλαιμάτου ῥοαὶ] Legendum χοαὶ, ut infra v. 968.

φόνιον αἷμα γῇ δοῦναι χοάς.

Χοαὶ autem vocantur, quæcunque aut Mortuis aut Diis Inferis, aut Telluri offeruntur, sive liquores, quorum proprium est χέεσθαι, sive alia. Heliodor. p. 330. Ed. Bourdelot. καὶ ἐπιφέρω χοὰς ἐκ τῶν ἐμαυτῆς πλοκάμων. vid. et p. 280. *Musg.*

178. λιπαρόζωνε ex conjectura Brunckius. *Por.*

λιπαρόζωνε Brunck. rescripsit, et quod metrum ita scribi jubeat; esse enim pæonicum dimetrum hypercatal. et quod commodius Lunæ, quam Solis, sit epitheton λιπαρόζωνος. In D. et membr. Br. ut vulgo. sed in membr. suprascr. εὐπρεπεστάτης, quasi ad lunam referri librarius voluerit. *Beck.*

Μεταφέρων ἰθύνει.
Ποῦ δ᾽ ὃς τὰ δεινὰ τῇδ᾽ ἐφυβρίζει πόλει,
Καπανεύς; ΠΑΙ. Ἐκεῖνος προσβάσεις τεκμαίρεται
Πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.

Infereus, gubernat currum.
Ubi vero est qui atrocia insolenter minatur huic urbi,
Capaneus? *Pæd.* Iste considerat aditus septem
Turrium, sursum ac deorsum muros metiens.

P. κἀκεῖθεν φέρων τοῖς πώλοις, ἰθύνει, αὐτοὺς δηλονότι, ἤγουν εἰς ὀρθὸν ἄγει. Ποῦ δέ ἐστιν ὁ Καπανεύς, ὃς κατὰ τῆσδε τῆς πόλεως τὰς δεινὰς ὕβρεις ὑβρίζει; ἐκεῖνος τὰς ἑπτὰ εἰσόδους τῶν

S. Βακχείου, ἐπὶ τῷ τέλει παράγραφος. 181. Κέντρα] Μάστιγας. 182. Καὶ σώφρονα πώλοις] Εἰκότως ἡσυχῇ καὶ σωφρόνως ἐλαύνει ὁ Ἀμφιάραος· οἶδε γὰρ ὡς μάντις τὰ ἀποβησόμενα. 183. Ἰθύνει] Κυβερνᾷ. Ποῦ δ᾽ ὃς τὰ δεινὰ] Σύστημα κατὰ περικοπὴν ἴαμβοι γʹ, εἶτα παράγραφος. τὸ παρὸν σύστημα ἄλλως ἐστὶν ἐσχηματισμένον ὡς ἄνω τεθέντος τοῦ προσώπου· οὕτω δὲ χρὴ τὸν δεύτερον στίχον γράφειν, ὡς διωρθώθη παρ᾽ ἡμῶν, ἵν᾽ ᾖ τέλειος ἴαμβος, καὶ μὴ τὸ Καπανεὺς μόνον κείμενον εἴη, ὡς πολλαχοῦ εὕρηται. 185. "Καπανεὺς Ἱππονόου, τοῦ "Ἀναξαγόρα, τοῦ Ἄργου, τοῦ Μεγαπένθους, τοῦ Προίτου, τοῦ Ἄβαντος, τοῦ Λυγκέως, "τοῦ Αἰγύπτου. Μητρὸς δὲ Λαοδίκης, τῆς Ἴφιδος, τοῦ Ἀλέκτορος." Ἐφυβρίζει] Μετὰ ὕβρεως ἀπειλεῖ τὰ χαλεπὰ τῇ πόλει. * Προσβάσεις τεκμαίρεται] Τὰς πύλας σκέπτεται

* In cod. Leid. verbis προσβάσεις τεκμαίρεται superscriptum: ἐξοχὰς προβολὰς, σκοπεῖ. *Beck.*

179. s. In unum versum jungit D. in quo χρυσόκεκλον male scribitur.

179. Choriambicus ex choriambo et diiambo. *Heath.*

180. χρυσόκυκλον MSS. nonnulli. *Por.*

181. ἀτρεμέα Ald. ἀτρεμαῖα Cant. Flor. J. K. L. M. *Por.*

ἀτρεμαῖα e cod. Flor. pro ἀτρεμέα cum King. edidit Valck. *Beck.*

ἀρτεμαῖα Br. edidit. *Beck.*

182. s. In unum versum redegit D. *Beck.*

182. Anapæstica penthemimeris. *Heath.*

183. μετάφρενον vitiose Eustathius ad Il. E. p. 557, 36. (423, 22.) *Por.*

Pro μεταφέρων Eustath. ad Il. E. p. 423, 22. legit μετάφρενον, quod utrum ipsius festinationi, an codicibus tribuendum sit, dubitat Valck., si sit ab Eurip. profectum, γ᾽ ante ἰθύνει addi debere; sed μετάφρενον nunquam equis tributum se legisse. *Beck.*

183. Trochaicus ithyphallicus. *Heath.*

184. Ποῦ δ᾽ ὃς τὰ δεινὰ τῇδ᾽ ἐφυβρίζει πόλει; Hic ego Poëtam clausulam fecisse puto; nisi quod proprium nomen viri adnotarunt nonnulli, quod tamen in textum minime erat recipiendum, licet id MS. agnoscat. Sed de *Capanei* minis vid. *Statii* Thebaid. l. 10. *Beck.*

185. ἑπτὰ post ἐκεῖνος addunt MSS. et omnes edd. ante Brunckium, qui ex Valckenærii conjectura ejecit. Καπανεὺς omittit Flor. ut volebat Barnesius; sed hoc nomen necessarium est. Pro τεκμαίρεται K. habet σκοπεῖ, quod male adoptavit Kingius. *Por.*

Kingius, ut metro consuleret, e cod. Reg. Soc. edidit:

Καπανεύς; Παι. Ἐκεῖνος ἑπτὰ προσβάσεις σκοπεῖ.

At τεκμαίρεται est verbum exquisitius, nec tribui librariis potest; significat autem τεκμαίρεσθαι *sibi repræsentare*, quam verbi vim illustrat. Valck. Jam e vulgata lectione Καπανεὺς extra metrum positum erit, quod tamen tantum in particulis quibusdam, non in nominibus propriis, fieri solet. Igitur Valck. delet ἑπτὰ, sed Heath. nomen Καπανεὺς, quod margini explicationis causa adscriptum fuisse censet.—Hesych. τεκμαίρεται·—στοχάζεται.

Beckius edidit,

Καπανεύς;
Παι. Ἐκεῖνος ἑπτὰ προσβάσεις τεκμαίρεται.

Καπανεὺς—τεκμ. ut unum versum Br. exhibuit, sed ἑπτὰ omisit, ut ineptum librarii additamentum. προβάσεις D. *Beck.*

ΑΝ. Ἰὼ Νέμεσι καὶ Διὸς
Βαρύβρομοι βρονταὶ,
Κεραύνιόν τε πῦρ αἰθαλόεν,
Σύ τοι μεγαληγορίαν

Ant. Io Nemesis, et Jovis
Graviter sonantia tonitrua,
Et ignis fulminis fuliginosus,
Tu superbiam

P. πύργων σκοπεῖ. Ἐπὶ ἀγανακτήσεως· φεῦ ὦ Νέμεσις, δίκη, καὶ Διὸς μεγαλόηχοι βρονταὶ, καὶ φῶς κεραύνιον, καυστικὸν, σὺ κοιμίζοις καὶ ταπεινοῖς τὴν κενοδοξίαν τὴν ὑπεράνορα. καὶ

S. 187. Νέμεσις] Νέμεσις θεὰ παρ' Ἕλλησι, τιμωρουμένη τοὺς μεγαλαύχους.——ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ ΙΒ'.—Ἰὼ Νέμεσις] Ἡ ιϛ' αὕτη στροφὴ κώλων ἐστὶν ιϛ'. Τὸ ά ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' καὶ ἰωνικοῦ. * Τὸ β' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ', καὶ σπονδείου, εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ γ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, (ἤτοι διϊάμβου) ἀντισπάστου καὶ πυῤῥιχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. Τὸ δ' προσῳδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β', ἀντὶ ἰωνικοῦ, καὶ χοριάμβου. Τὸ ε' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ϛ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' χοριαμβικὸν, τρίμετρον, βραχυκατάληκτον, ἐκ χοριάμβου, ἐπιτρίτου, καὶ τροχαίου. Τὸ η' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ὃ καλεῖται Σαπφικὸν, ἢ Ἱππωνάκτειον, ἐξ ἐπιτρίτου δ' καὶ τρίτου καὶ συλλαβῆς. Τὸ θ' χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου α', χοριάμβου, καὶ ἀμφιβραχέος. Τὸ ι' προσῳδιακὸν, τρίμετρον βραχυκατάληκτον. Τὸ ια' χοριαμβικὸν, ἐκ χοριάμβου καὶ ἀναπαίστου. εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. Τὸ ιβ' χοριαμβικὸν, ἐκ δύο χοριάμβων, καὶ πυῤῥιχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. Τὸ ιγ', χοριαμβικὸν, δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. Τὸ ιδ' ὅμοιον ἡμιόλιον· εἰ δὲ βούλει. δακτυλικὸν ὅμοιον τῷ ια'· ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι ὡς τέλος ἔσχε τὰ ἀνομοιόστροφα. 190. Μεγαλανορίαν] Μεγαλοφροσύνην, μεγαλοῤῥημοσύνην, ἤγουν μεγαληγορίαν. Μεγαλανορίαν] Ἐπαρ-

* Τὸ β' ἰωνικὸν ἡμ. (B.)] Τὸ β' παιωνικὸν ἡμ. M. e conjectura King. quem improbat Valck. *Beck.*

187. Νέμεσις edd. MSS. et Suid. vv. Νέμεσις, ὑψηλοτέρας. Sed idem in v. ἰὼ habet Νέμεσι, probante Toupio in v. Νέμεσις. In Sophocl. Electr. 792. Νέμεσι recte Aldus et MSS. veteres. Dawesii emendationem in Aristoph. Ran. 920. ξύνεσι pro ξύνεσις, quam neglexit Brunckius, recepit Invernizius ex MS. Ravennate. Sic infra 199. codices quidam dant Ἄρτεμις. *Por.*

Laudat h. l. Suid. V. Ἰὼ et Νέμεσις. v. Toup. Em. in Suid. T. II. p. 154.

Νέμεσι edidit Br. In D. ut vulgo Νέμεσις. In D. ad hunc versum refertur βαρύβρομοι, et βρονταὶ — αἰθαλόεν junguntur in unum. *Beck.*

187. Penthemimeris trochaica, sive dochmaicus. *Heath.*

189. πῦρ] Multi codices φῶς. *Por.*

Cod. Leid. 2. et Flor. pro πῦρ exhibent φῶς, sed πῦρ ab Eurip. dici de fulmine docet Valck. *Beck.*

190. μεγαλανορίαν Ald. MSS. Eustathius μεγαλάνορα ὑπερηνορίαν ad Il. Δ. p. 462, 4. (351, 38.) μεγαληγορίαν, quod legisse videtur Scholiastes, probavere Valckenærius et Toupius, edidere Brunckius et Beckius. κοιμίζεις Ald. et plures codices. κοιμίζοις edd. Grot. King. K. pro v. l. Cant. M. R. Utramque lectionem commemorat scholion marginale. *Por.*

190—193. In tres versus Beckius disposuit,

Σύ τοι μεγαλανορίαν ὑπεράνορα
Κοιμίζεις· ὅδ' ἐστὶν, αἰχμαλωτίδας
Ὃς δορὶ Θηβαίας Μυκήναισι.

Ita disposuit et scripsit post Kingium Valck. :

Ὑπεράνορα κοιμίζοις.
Ὅδ᾽ ἐστὶν, αἰχμαλωτίδας
Ὃς δορὶ Θηβαίας Μυκήναισι
Λερναίᾳ τε δώσει τριαίνᾳ,

Immodicam sedas :
Hicce est, captivas
Qui *minatur* armis se Thebanas mulieres Mycenis
Daturum, et *Lernæo* Tridenti

P. ὑψηλήν * οὗτός ἐστιν ὃς, ἀπειλεῖ δηλονότι, δώσειν τὰς Θηβαίας γυναῖκας διὰ τοῦ πολέμου αἰχμαλωτίδας ταῖς Μυκήναις καὶ τῇ Λερναίᾳ Τριαίνῃ, ἀντὶ τοῦ τῇ Λέρνῃ τῇ πηγῇ, τῇ ἀνα-

S. 248. Αἷμα δάϊον] Πόλεμον ἀκμαῖον διεγείρει τῇδε τῇ πόλει. 251. Κοινὰ δ' εἴ τι πείσεται] Τὸ εἴ τι εἰπὼν, ἐπάγει πληθυντικῶς τὰ κοινὰ, οὐκ ἔξω λόγου· τὸ γὰρ εἴ τι ἀορίστως λεγόμενον ἐπὶ πολλὰ τείνει. πολλὴ δὲ ἡ χρῆσις τούτου καὶ παρὰ τῷ πεζῷ λόγῳ. 253. Φοινίσσᾳ χώρᾳ] Γράφεται, Φοίνισσα χώρα, κατ' εὐθεῖαν. * Ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ πείσεται, εἴτι πείσεται ἅδε γᾶ, πείσεται καὶ Φοίνισσα χώρα. 254. Κοινὸν αἷμα] Τουτέστιν οἱ ἐκ Θηβῶν, καὶ οἱ ἐκ Φοινίσσης ἕν εἰσι γένος, τέκνα ὄντες Ἰοῦς, τῆς ἐρασθείσης μὲν ὑπὸ τοῦ Διὸς, εἰς βοῦν δὲ ἀμειφθείσης παρ' αὐτοῦ, ἵνα λάθῃ τὴν Ἥραν. διὸ καὶ Κερασφόρον καλεῖ. "Κοινὰ τέκνα] Ὁ Φοῖνιξ καὶ Ἀγήνωρ υἱοὶ τῆς Ἰοῦς." 255. Ἰοῦς] Λέγεται καὶ ἡ Ἰὼ,

* Ἵν' ᾖ] Lege ἵν' ᾖ. *Valck.*

κοινὸν — πέφυκεν
Ἰοῦς — πόνων. *Beck.*

246. Laudat Hephæst. de metris p. 18. ubi de metro trochaico dimetro catalecto s. Euripideo agit. Cod. Leid. pro δὲ habet γὰρ, quod est interpretamentum.

νῦν δ' ἐμοί. *Beck.*

248. Αἷμα δάϊον per se quidem significare potest *cædem bellicam*, at non videtur Mars hoc sensu dici posse αἷμα δάϊον φλέγειν πόλει. Propterea, et quia Schol. explicat, πόλεμον διεγείρει τῇδε τῇ πόλει, Valcken. emendat, χεῖμα δάϊον φλ. — *Mars bellicam, quod abominor, adversus hanc urbem excitat tempestatem*; χεῖμα, κῦμα, et similia de bello poni docet V. Reisk. conjicit φόρμα δάϊον φθογγεῖ, aut λέγει. alio tempore ait se conjecisse αὐλὰν pro αἷμα. Klotzius ad Tyrt. p. 119. mavult φλέγει mutare in πνέει, ut πνεῖν φόνον dicitur. *Beck.*

249. ποτὶ πόλει Cant. πόλει M. R. et ποτὶ pro v. l. *Por.*

251. πείσεθ' Ald. et MSS. In versu sequenti γαιᾶ Ald. et codices nonnulli, sed plures γᾶ vel γᾷ. *Por.*

Olim legebatur πείσεθ' et γαῖα, πείσεται et γᾶ cum King. et codd. Leidd. *Beck.*

252. ἅδε γᾶ edidit Br. *Beck.*

253. φοίνισσα χώρα D. *Beck.*

254. τέκεα MSS. plerique et sic voluit Aldus, τέκεα. Edd. et MSS. quidam τέκνα. *Por.*

Τέκεα] Ita MS. olim τέκνα, utrumque versui facit satis.

τέκεα etiam in membr. Br. et in D. *Beck.*

256. Lego: ὡς μέτεστί μοι πόνων. *Unde et ad me quoque pertinent labores.* Musgr.

Τᾶς κερασφόρου πέφυκεν Ἰοῦς.
Ὧν μέτεστί μοι πόνων.
Ἀμφὶ δὲ πτόλιν νέφος ἀντιστροφή.
Ἀσπίδων πυκνὸν φλέγει,
Σχῆμα φοινίου μάχης,
Ἂν Ἄρης τάχ' εἴσεται
Παισὶν Οἰδίπου φέρων

Corrigeræ sunt Ius:
Quibus laborum ego sum particeps.
Circum urbem autem nubes
Clypeorum densa incendit
Speciem cruentæ pugnæ,
Quam Mars mox veniet
Filiis Œdipi ferens,

P. τῇ χώρᾳ τῆς Φοινίκης εἴ τι πείσεται ἡ ἑπτάπυργος ἥδε γῆ. κοινὸν τὸ γένος τῶν ἐν τῇδε τῇ γῇ καὶ τῇ Φοινίκῃ, κοινὰ τέκνα τῆς βοὸς γενομένης Ἰοῦς ὑπάρχει. ὧν τῶν πόνων μετουσία ἐστί μοι. Περὶ δὲ τὴν πόλιν πλῆθος πυκνὸν ἀσπιδηφόρων ἀνδρῶν ἀνάπτεται, κατάστασις φονίου μάχης, ἣν (τὴν μάχην) Ἄρης ἴσως οἴσει κατὰ τῶν παίδων τοῦ Οἰδίποδος, φέρων

S. τῆς Ἰνόος, καὶ Ἰνοῦς· καὶ ἡ Ἰώ, τῆς Ἰόος, καὶ Ἰοῦς. ἀπὸ Ἰοῦς Ἔπαφος. οὗ Λιβύη· ἧς Βῆλος· οὗ Φοῖνιξ, καὶ Ἀγήνωρ· οὗ Ἀγήνορος, Κάδμος· οὗ Πολύδωρος· οὗ Λάβδακος· οὗ Λάϊος· οὗ Οἰδίπους. οὗ Ἐτεοκλῆς, καὶ Πολυνείκης. 258. Φλέγει] Τὸ νέφος τῶν ἀσπίδων φλέγει, καὶ οἱονεὶ ἀστράπτει. 259. Σχῆμα] Σημεῖον μάχης· οἰκεῖον δὲ τῇ συννεφείᾳ τὸ ἀστράπτειν. 260. Ἂν Ἄρης] Ἣν ὁ Ἄρης γνώσεται· ὁ δὲ νοῦς, ἣν μάχην φέρων τοῖς παισὶν Οἰδίπου ταχέως πορευθήσεται. ἄμεινον δὲ τὸ οἴσεται, ἀντὶ τοῦ ὁρμήσει. Ἂν Ἄρης τάχ' εἴσεται] Τὸ οἴσεται, εἰ μὲν ο καὶ ι γράφεις, οὕτως ἐρεῖς· ἣν μάχην ταχέως οἴσεται, καὶ κομίσει, καὶ ἄξει ὁ Ἄρης. εἰ δὲ ε καὶ ι οὕτως· ἣν μάχην ταχέως γνώσεται ὁ πόλεμος· τουτέστιν ἣ ταχέως γενήσεται, πρὸς πόλεμον τοῖς Θηβαίοις καταστάντων Ἀργείων

257. πτόλιν pro πόλιν Heathius ob metrum. *Por.*

Heath. πτόλιν legi jubet, ut metrum sibi constet. Battierius ap. Valck. Ἀμφὶ δὲ πόλιν, ut versus sit trochaicus dimeter catalectus.

πτόλιν ed. Br. In D. hæc et seqq. ita exhibentur:

ἀμφὶ δ. πόλιν ν. ἀσπίδων
πυκνὸν — φονίου (sic) μάχης.
ἂν α. τ. οἴσεταί π. οἰδ.
φ. πημ. ἐριννύων.
ἀ. ὦ π. δειμαίνω
τὴν σὴν (omissum est ἀλκὰν) καὶ τὸ
θεόθεν.
οὐ γὰρ — τόνδ'
ἔνοπλος ὁρμᾶται (sic) παῖς ο. μ. δ.

νέφος ἀσπ. Gl. Cod. D. πλῆθος ἀσπιδοφόρων ἀνδρῶν. *Beck.*

πόλιν] Metrum postulat πτόλιν. *Musg.*

258. φλέγει] transitive accipiendum, ut supra v. 248. Æschyl. Pers. v. 395. σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν. *Musg.*

260. οἴσεται Ald. edd. pleræque et codices multi; sed εἴσεται quod Scaliger et Barnesius notarunt, memorat Scholiastes, habent Cant. K. M. membr. et pro v. l. R. οἴσεται M. pro v. l. J. ex emend. Ex Scholiastæ interpretatione πορευθήσεται, Valckenærius ἴξεται elicit, quod in textum intulit Musgravius. Verum ille εἴσεται pro futuro verbi εἶμι cepisse videtur. Iph. A. 975. τάχ' εἴσεται σίδηρος, ubi hunc locum laudat Marklandus. *Por.*

Pro οἴσεται olim lectum esse εἴσεται et ἴξεται e Schol. demonstrat Valck. qui præfert εἴσεται, hoc sensu: *quod* (bellum) *protinus inferre Mars se intelliget velut exitium Œdipi liberis a Furiis allatum.* τάχα εἴσομαι, τάχ' εἴσεται ap. Aristoph. et

Πημονὰν Ἐριννύων.
Ἄργος ὦ Πελασγικὸν,
Δειμαίνω τὰν σὰν ἀλκὰν,
Καὶ τὸ θεόθεν, οὐ γὰρ ἀδίκως
Εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ,
Ὃς μετέρχεται δόμους.

Noxam ab Erinnybus.
Argos o Pelasgicum,
Metuo tuum robur,
Et divinam vindictam. Non enim injustum
Ad certamen hoc armatus ruit,
Qui suam repetit domum.

P. βλάβην ἕνεκα τῶν καταρῶν τοῦ Οἰδίποδος. ὦ Ἄργος, δέδοικα τὴν σὴν ἰσχὺν, καὶ τὴν δικαιοσύνην· οὐ γὰρ ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα, τὸν τῆς μάχης δηλονότι, ὥρμησεν ἔνοπλος ὁ παῖς ὃς ἀπαιτεῖ τὴν βασιλείαν. ———

S. 265. Καὶ τὸ θεόθεν] Τὸ δίκαιον, καὶ τὴν τοῦ θείου συμμαχίαν ἀεὶ τοῦ δικαίου προϊσταμένην, καὶ τοῖς δικαίοις ἐπαξίως συνερχομένην. 267. Μετέρχεται] Ἤγουν ζητεῖ, ἀπαιτεῖ δόμους, ἀντὶ τοῦ τὴν βασιλείαν· ἀπὸ μεταφορᾶς τῶν τοὺς φεύγοντας ζητούντων καταλαβεῖν. 268. Τὰ μὲν πυλωρῶν] Τὰ μὲν * πυλώματα τὰ ἐπιτετραμμένα τοῖς πυλωροῖς, δι' εὐκολίας με ὑπεδέξαντο. ὅθεν καὶ, διὰ τὸ εὐμαρῶς, καὶ εὐχερῶς, με ὑποδέξασθαι τοὺς φύλακας, ὑποπτεύω μὴ δόλος ἐστιν. Τὰ μὲν πυλωρῶν] Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων λ'. ὧν τελευταῖος "Καλεῖ δὲ Πολυνείκην μὲ Θηβαῖος λεώς." ἐπὶ ταῖς

* Πυλώματα] Cod. Aug. τὰ μὲν θυρώματα ἐπιτετραμμένα τοῖς θυρωροῖς, tum statim ibi sequuntur hæc : Δι' εὐπετείας] Διὰ τὴν εὐμάρειαν καὶ τὸ εὐχ. με ὑπεδ. etc. ibid. δι' εὐκολίας ὑπεδ. *Beck.*

Æschyl. occurrit, et verbis *cognoscendi* sæpe sic adduntur nominativi participiorum pro infinitivis verborum. Heath. causam nullam esse monet, cur stare εἴσεται non possit, hac nempe sententia: *Quam pugnam quasi aliquid sibi jucundum Mars statim accipiet.* Lectionem ἕξεται, ipso auctore, plane respuit verborum constructio, lectio εἴσεται languidior est.

εἴσεται Brunck. edidit e membr. *Beck.*

ἕξεται] Sic legendum haud dubie, ut olim scriptum fuisse ostendit Scholiastæ annotatio. πημονὰν Ἐριννύων quod sequitur, ad μάχην subintellectum per appositionem referendum est. *Quam* (sc. pugnam) *Mars statim afferet, cladem a Furiis ortam.* Ed. Ald. εἴσεται, Lib. P. εἴσεται. *Musg.*

261. Οἰδίπου] a recto Οἴδιπος. Vide Supplices v. 838. *Beck.*

262. Ἐριννύων] Gl. Cod. D. ἕνεκα τῶν καταρῶν τοῦ Οἰδίποδος. *Beck.*

264. Vocabulis τὴν σὴν in D. suprascr. ἰσχύν. *Beck.*

265. ἄδικος M. R. ed. King. *Por.*

Pro ἄδικον King. edidit ἄδικος, sed illud ob codd. suorum auctoritatem probat Valck.

265. ss. Gl. Cod. D. οὐ γὰρ ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα τὸν τῆς μάχης δηλονότι ὥρμησεν ἔνοπλος ὁ παῖς, ὃς μετέρχεται ἤγουν ζητεῖ, ἀπαιτεῖ τοὺς δόμους ἀντὶ τοῦ βασιλείαν. Et ad μετέρχεται adscriptum : ἀπὸ μεταφορᾶς τῶν τοὺς φεύγοντας ζητούντων καταλαβεῖν. *Beck.*

266. ὁρμᾶται codices quidam ; sed παῖς addunt fere omnes cum Aldo, quod omittunt Kingius K. secutus, et Grotius. *Por.*

267. Παῖς ante ὃς μετ. etsi in codd. Leidd. et Flor. erat, tamen Valck. cum

ARGUMENTUM ACTUS SECUNDI.

Polynices, a matre per inducias accersitus, urbem domumque patris ingreditur, omnia suspecta habens, utpote qui fratris perfidiam probe noverit. Hujus adventum matri Chorus nuntiat. Illa post blanditias maternas objurgat filium ob conjugium externum, et Thebarum imminentem calamitatem deplorat. Polynices a necessitate se ad omnia adactum respondet, exsilii mala graphice depingit, et, quomodo Adrasti filiæ connubio sit potitus exponit; suamque expeditionem contra patriam excusat. Deinde superveniente Eteocle, Polynices causam suam exponit et jus suum petit. Eteocles ferox, nihil se de imperio remissurum affirmat, nedum minis eo adactum iri. Pia mater filiorum discordiam gravissima oratione diluere conatur, sed frustra. Post acerba itaque convicia utrinque disceditur. Chorus urbis et regni Thebani initia recitat, cœlique et soli beneficiis eam cumulatam agnoscit: Deos denique, ut illius statui jam periclitanti subveniant, orat. Hic actus in genere deliberativo totus versatur.

ΠΟΛΥΝΕΙΚΗΣ.

Τὰ μὲν πυλωρῶν κλεῖθρά μ' εἰσεδέξατο
Δι' εὐπετείας, τειχέων εἴσω μολεῖν·
Ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
Λαβόντες οὐ μεθῶσ' ἀναίμακτον χρόα.

POLYNICES.

Claustra quidem janitorum me receperunt
Facile, ut venirem in urbem.
Propter quod etiam metuo, ne me intra retia
Accipientes, non dimittant sine cæde corpus.

8. ἀποθέσεσι ἑκάστου συστήματος παράγραφος. Baroc. 74. 269. Δι' εὐπετείας] Δι' εὐμαρείας, δι' εὐχερείας. 271. Οὐ μεθῶσ'] Οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν. καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων ὅτε διαλαμβάνει περὶ τοῦ Φρῶ, * ταύτην τὴν χρῆσιν. —— Οὐ μεθῶσ'] Οὐκ ἀφῶσιν

* Post ταύτην τὴν χρῆσιν apud V. et M. puncta defectus indices posita—et ibidem pro περὶ τοῦ χρῶ editum π. τ. φρῶ. Valck. legi malebat: οἱ μὲν ὑποκριταὶ——ὅτε διαλαμβάνει περὶ τοῦ Φρῶ, ταύτην τὴν χρῆσιν παρατίθεται· nimirum in Euripidis versu olim fuisse οὐ προῶσ', hanc lectionem pronunciatu difficilem ab actore mutatam esse in οὐ μαθῶσ', Philoxenum, ubi ageret de verbo Φρῶ, secundum ipsum ex προϊῶ contracto, hanc attulisse ῥῆσιν Euripidis: οὐ προῶσ' etc. *Beck.*

King. omisit, deerat etiam in codd. Parisinis, quos Grot. inspexit. *Beck.*

268. κλῇθρα scripsit Br. *Beck.*

Alibi apud Eurip. scribitur κλῇθρα ex more Atticorum recentiorum. Nam Euripidis ævo nondum fuit Ionicum η Atheniis receptum. Iones scribebant κλήϊθρα, talia Attici post Euclidis archontis magistratum contraxerunt. *Valck.*

270. ᾧ καὶ mavult Valckenærius, sed nihil opus videtur. *Por.*

Valck. corrigit ᾧ, quod rarissime a Tragicis ὃ et ἃ ponatur pro δι' ὃ, δι' ἃ, sed ᾧ sæpius pro *quamobrem*, v. eum ad v. 156. *Beck.*

ὃ καὶ δέδοικα] Dubito, an Valck. assentiendum sit, legenti, ᾧ καὶ δέδοικα. vid. præter locum Soph. ab ipso citatum, qui est Œd. Colon. v. 1287. Andromach. v. 643. et 660. et Lambert. Bos. Ellips. Græc. p. 305. *Musg.*

271. Valcken. e Schol. demonstrat,

Ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον,
Κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ,
Τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι,
Ὠή, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
Ἅπαντα καὶ τολμῶσι δεινὰ φαίνεται,
Ὅταν δι' ἐχθρᾶς ποὺς ἀμείβηται χθονός.
Πέποιθα μέντοι μητρὶ, κοὐ πέποιθ' ἅμα,

Quapropter circumferendi sunt undique oculi
Huc et illuc, ne quis sit dolus.
Armatus vero manum hoc ense,
Fiduciam mihi ipsi confidentiæ præbebo:
Heus quid istuc est? an vero strepitum metuo?
Omnia enim audentibus periculosa videntur,
Quando per hostilem pes incedit terram.
Confisus sum matri, et tamen non plane confido,

S. ἄτρωτον. 274. Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ] Ἀνόητον * τὴν χρῆσιν φασὶ τῷ ξίφει πιστεύειν, ταῖς σπονδαῖς δὲ μήπω, εἰ δὲ καὶ μόνος ὢν κρατῆσαι ἐδύνατο ἐπιβουλευόντων τοσούτων. ἀγνοοῦσι δὲ, ὅτι οἱ μετὰ ἀνάγκης ἐπί τινα κίνδυνον ἐρχόμενοι, οὐχὶ ἐκ τῶν ἐνδεχομένων θηρᾶσθαι τὴν ἀσφάλειαν ἐθέλουσιν, ἀλλ' οἵαν παρὰ τοῦ καιροῦ λαμβάνουσι, καὶ οἱ ἐπ' ἐρημίας μετὰ ξιφιδίου πορεύονται, ἧττον μὲν ὡπλισμένοι τῶν ὑποπτευομένων θηρῶν, ἢ λῃστῶν, ἄμεινον δὲ τῶν ἀνόπλων, τοῦτο καὶ Πολυνείκει συνέβη, ἀναγκασθεὶς γὰρ ἐπὶ διαλλαγὰς εἰς τὰς Θήβας ἐλθεῖν, ἔρχεται μὲν, ἵνα μὴ δόξῃ δύσερις εἶναι, δόλον δὲ ὑποπτεύων, τὴν ἀσφάλειαν κατὰ τὸ δυνατὸν † ἐπορίσατο, τὴν πίστιν τοῦ θαῤῥεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαῤῥεῖν. 276. Ὠή] Ἐπίφθεγμα ἀνακλήσεως τὸν κτύπον οὖν φησὶν ‡ ἀποφατικῶς ὄντα. ἤγουν τὸν κενὸν ψόφον ὑφορώμεθα. 281. Βώμιοι γὰρ ἐσχάραι] Ὥστε καταφυγεῖν

* Τὴν χρῆσιν] Valck. corrigit ἀν. τὴν τήρησιν. *Beck.*

† Ἐπορίσατο] In hoc verbo subsistendum, sequentia pertinent ad v. 275. et rectius ita leguntur in August. cod. Τὰ πίστ' ἐμαυτῷ] Ἤγουν τὴν πίστιν τοῦ θαῤῥεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαῤῥεῖν. Τοῦ θράσους παρέξομαι] Οἷον ἄρα θρασύνομαι τῷ ξίφει πιστεύων. *Beck.*

‡ Ἀποφατικῶς etc.—Hæc e Cod. Aug. sic corrigenda censet Valck. ἀποφαντικῶς, ἤγουν ὄντως τὸν κενὸν ψόφον ὑφορώμεθα. *Beck.*

olim hic lectum esse οὐ προῶσ', sed hanc lectionem mutatam ab histrionibus esse in faciliorem pronunciatu οὐ μεθῶσ' — Ad χρόα Heath. subintelligit κατά. *Beck.*

μεθῶσιν D. *Beck.*

272. Aliter πανταχοῦ. *Por.*

Pro πανταχῇ Codd. nonnulli, et eos secutus King. exhibent πανταχοῦ. Sed πανταχῇ sæpe eo, quo hic, sensu occurrit, etiam in Aristoph. Thesm. 966. ubi huc et ad v. 366. respicitur, monente Valck.

πανταχοῦ D. cum gl. πανταχόθεν, sed in Br. ed πανταχῇ. *Beck.*

273. Spectat hunc locum Aristoph. Av. 423. ubi et ad v. 347. Scholiastes h. l. laudat, sed vitiose. v. Obs. Misc. 5, 3. p. 108. *Beck.*

275. τὰ πίστ', i. e. τὴν πίστιν, fidem publicam. v. Dounæus Prælect. in Demosth. d. Pac. p. 71. *Beck.*

277. καὶ pro γὰρ est Valckenærii conjectura. *Por.*

Valck. conjicit Ἅπαντα καὶ τολμῶσι—

Ἥτις μ᾽ ἔπεισε, δεῦρ᾽ ὑπόσπονδον μολεῖν.
Ἀλλ᾽ ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
Πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
Φέρ᾽ ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
Καὶ τάσδ᾽ ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
Ξέναι γυναῖκες, εἴπατ᾽, ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;
ΧΟ. Φοίνισσα μὲν γῆ πατρὶς, ἡ θρέψασά με·

Quæ mihi persuasit, ut factis induciis huc venirem.
Sed prope est defensio: foci enim altarium
Prope adsunt, et non desertæ domus.
Age dimittam gladium in obscuram vaginam,
Et has interrogabo, quænam astent ædibus.
Peregrinæ mulieres, dicite, quanam ex patria
Adstatis ad Græcas domos?
Cho. Terra quidem Phœnissa patria aluit me:

S. ἐφ᾽ αὐτοὺς, * εἰ δέοι. τοῦτο δὲ οὐ συνῳδὸν τῷ, "Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ," θρασύδειλον γὰρ τὸν Πολυνείκην παρίστησι, πρῶτον μὲν φάσκοντα, "Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ, Τὰ πίστ᾽ ἐμαυτῷ τοῦ θράσους παρέξομαι." νῦν δὲ τοὺς βωμοὺς πλησίον εἶναι φησὶν, οἷς προσφυγὼν νομίζει σωθήσεσθαι, καθάπερ ἱκέτης γενόμενος. Βώμιοι γὰρ ἐσχάραι] Ἐσχάρα κυρίως μὲν ἐπὶ τῆς γῆς βόθρος, ἔνθα σφαγιάζουσι, τοῖς κάτω ἐρχομένοις· Βωμὸς δὲ, ἐν ᾧ θύουσι τοῖς ἐπουρανίοις θεοῖς, νῦν οὖν Βώμιοι ἐσχάραι, τὰ κοιλώματα τῶν βωμῶν, ἢ κατὰ περίφρασιν οἱ βωμοί. Βώμιοι γὰρ ἐσχάραι] Ἐσχάρα, ἔνθα τὸ πῦρ ἥπτετο· Βωμὸς δὲ, τὸ περιέχον τὴν ἐσχάραν οἰκοδόμημα. 283. Κοὐκ ἔρημα δώματα] Τὰς ἀπὸ τοῦ χοροῦ ἐωρακὼς φησὶ τεθαῤῥηκέναι. † ἀσθενοῦς δὲ φησὶ ψυχῆς τεκμήριον. τί γὰρ ἔμελλον αὐτῷ γυναῖκες συμβαλέσθαι πρὸς κίνδυνον; Ἐς σκοτεινὰς περιβολὰς] Εἰς τὸν κουλεὸν, ἢ ὑπὸ τὴν χλαῖναν, ὃ καὶ ἄμεινον, ἵνα κεκαλυμμένον τὸ ξίφος ἔχῃ καὶ πρὸς ἄμυναν ἕτοιμον. 285. Ξέναι γυναῖκες] Ἢ ἀπὸ τῶν ἐνδυμάτων ἢ ἀπὸ τῶν λόγων ἔγνω αὐτὰς Πολυνείκης μὴ εἶναι καθαρὰς Ἑλληνίδας. καὶ γὰρ οὐ καθάπαξ Ἑλληνικῶς ὡμίλουν, ἀλλ᾽ εἶχόν τι τῆς

* Εἰ δέοι] Valck. ex Aug. emendat ἐάν τι δέοι, vel ἐπάν τι δέοι. Mox pro σφαγιάζουσι Valck. putat ex Aug. restitui posse ἐναγίζουσι. *Beck.*

† Verba δέ φησι in cod. Aug. recte post ἀσθενοῦς deesse monet Valck. *Beck.*

Omnia quamvis fortibus faciunt metum. καὶ pro καίπερ, etiam cum participiis verborum positum, copiose illustrat V.

Ἅπαντα καὶ τολμῶσι Brunck. edidit, quod sententia καὶ, non γὰρ, postulet. *Beck.*

278. ἀμείβεται D. *Beck.*

279. ματρὶ ed. Br. *Beck.*

283. εἰς σκοτ. D. Mox ξίφους. *Beck.*

284. τὰς ἐφεστώσας δόμους Scaliger. Quod ex MS. ductum ostendit K. qui τὰς ἐφεστώσας habet, J. τὰς ἐφεστῶσαι. MSS. nonnulli etiam δόμους. *Por.*

δόμους D. et suprascr. ἐπί. *Beck.*

285. King. edidit Ξεῖναι γ᾽ ut in cod. Leid. 1. In hujus vocabuli scriptura sæpe variare codices docet V. Paullo ante ἐφεστᾶσιν et v. 286. δώμασιν edidit King. et cum eo Valck. et sæpius ν ἐφελκυστικὸν, metro jubente, addidit.

ξεῖναι D. *Beck.*

286. πελάζετε;] Gl. Cod. D. τὴν ἀναστροφὴν ποιεῖσθε. *Beck.*

Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ' ἔπεμψαν ἐνθάδ' ἀκροθίνιον.
Μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
Μαντεῖα σεμνὰ, Λοξίου τ' ἐπ' ἐσχάρας,
Ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
Σὺ δ' ἀντάμειψαί μ', ὅστις ὢν ἐλήλυθας
Ἑπτάστομον πύργωμα Θηβαίας χθονός.

Agenoris vero nepotes ex spoliis belli
Miserunt me huc Phœbo primitias:
Cumque esset me missurus Œdipi filius inclytus
Ad venerandum oraculum et Apollinis aras,
Interea Argivi duxerunt exercitum ad urbem.
Tu vero vicissim-responde mihi, quisnam sis, quid venis
Ad Thebanæ terræ septem portarum turrem.

S. πατρῴας φωνῆς. 288. Δορὸς] Λαφυραγωγίας. 289. "Ἀκροθίνιον] Τὴν ἐκ πόλεως τῆς "λείας ἀπαρχήν. Ἄλλως. Ἀκροθίνιον λέγεται ἡ ἐκ πόλεως λαφυραγωγία· παμπρεπὲς "δῶρον." Ἀκροθίνιον] Τῆς λείας ἀπαρχήν. 290. Μέλλων δὲ πέμπειν] Σολοικοφανὲς τοῦτό ἐστιν. ἔδει γὰρ εἰπεῖν, μέλλοντος πέμπειν με Οἰδίποδος, ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι. ἢ οὕτως, μέλλων δὲ πέμψειν πρὶν ἰδεῖν τοὺς Ἀργείους ἐπιστρατεύσαντας, ἐν τοσούτῳ οἱ Ἀργεῖοι ἐπὶ τὴν πόλιν ἐστράτευσαν. Μέλλων δὲ πέμπειν με] Λέγουσιν ἁπαξάπαντες, ὡς ἡ σύνταξις αὕτη καθαρῶς σόλοικος· ἐποίησε δὲ Εὐριπίδης ἑκὼν, ὥσπερ καὶ Ὅμηρος πολλάκις· τέχνης γὰρ ὄντες ἀληθῶς ἐπιστήμονες καὶ οἷον ἀρχηγοὶ, εἰ καὶ τοῖς ὑπὲρ τέχνην ἅπαξ ἐχρήσαντο, τί θαυμαστόν; σὺ δὲ, τούτους ὡς ἠπατημένους ἐάσας, μὴ νόμιζε, τὸ ἐπεστράτευσαν πρὸς τὸ μέλλων ἀποδοθῆναι, ὥσπερ ἐκεῖνοι οἴονται. τοῦτο γὰρ καθαρῶς σόλοικον· ἀλλὰ πρὸς τὴν ἐπανάληψιν τὴν ἐν τῷδε. οἶσθα γὰρ, ὡς ἡνίκα ἂν ποιῶμεν ἐπαναλήψεις, ποτὲ μὲν τὴν ἀπόδοσιν, πρὸς τὴν πρόσθεν ἐπιφέρομεν σύνταξιν, ποτὲ δὲ ἐναλλάττομεν, ὡς θέλομεν, ὡς καὶ ἐνταῦθα γέγονε. Παραδείγματα τῆς ἐναλλαγῆς ταύτης ἄλλα τε πολλὰ καὶ τάδε· ——— παραμείψαντες δὲ τῶν ὀρῶν τοὺς ἑλιγμοὺς ἐπεφάνη τὸ ἄστυ, τοῦτο δὲ ἐγίγνετο τῆς ἀποστάσεως ἐν πεντήκοντα σταδίοις οὔσης καὶ ἑκατόν. ὁπότε οὖν ἐκλάμψειε, παρὰ μὲν τῶν ἄλλων σιγὴ ἦν. ἐνταῦθα γὰρ, οὐ πρὸς τὸ παραμείψαντες, ἐποίησε τὴν ἀπόδοσιν τὸ σιγὴ ἦν, ἀλλὰ πρὸς τὰς ἐπαναλήψεις. καὶ πάλιν ὁ αὐτὸς Λιβάνιος * ἐν τῷ πρὸς Ἰουλιανὸν ἐπιταφίῳ οὕτω φησὶ, διεξιὼν γὰρ πολίχνιον τὸ πρῶτον ἧς παρελάμβανε γῆς στέφανόν τινα κλάδων, πολλοὺς δὲ ἐκ καλωδίων τεταμένων εἰς κίονας ἐκ τοίχων ἐξαρτῶσιν οἱ δῆμοι μετεώρους· τούτων εἷς τῶν στεφάνων, ᾧ καλλωπίζομεν τὰς πόλεις, ἐκλυθεὶς τοῦ δεσμοῦ, καταβαίνων ἦν ἐν τῇ τοῦ βασιλέως κεφαλῇ, καὶ ἥρμοσε. καὶ ἑτέρωθι. (In Epist. n. 259.) Τὸν δὲ ἐμοὶ καὶ σοὶ φίλτατον, καὶ ᾧ μὴ χαριζόμενος αἰσχυνοίμην ἂν, Παγκράτιον, τὸν ἄρχειν

* Oratt. X. T. II. p. 270. D. et 271. A. cui e Schol. restitui jubet Valck. τεταμένων, et καὶ ἥρμοσε, vel ἥρμοζε, sed contra in Edd. Libanii melius esse κορυφῇ, quam in Schol. κεφαλῇ, putat. *Beck.*

290. Μέλλων δὲ πέμπειν.—Ἐν τῷδ' ἐπεστράτευσαν etc.] De hac syntaxi consule *Scholiasten.* Et multa quidem apud poëtas—διὰ τὸ πρὸς σημαινόμενον absque Solœcismo, quamquam σολοικοφανῶς dicta, explicantur. *Canterus* quoque notavit, apud poëtam nostrum haud semel hanc syntaxin usurpari; sed et *Helen.* v. 296 Κλείθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ' Ἰλίῳ Δοκοῦντες Ἑλένην Μενέλεῳ μ' ἐλθεῖν μόνην. Et in *Ion.* v. 940. Κακῶν γὰρ ἄρτι κῦμ' ὑπεξαντλῶν φρενὶ, Πρύμνηθεν αἴρει μ' ἄλλο σῶν λόγων ὕπο. *Sophocles* quoque et *Æschylus* hac phrasi sunt usi, hic bis, ille semel; ita *Canterus.* Sic *Homer. Iliad.* β'. v. 350. Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερ-

ΠΟ. Πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου·
Ἔτικτε δ' Ἰοκάστη με, παῖς Μενοικέως·
Καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς.
ΧΟ. Ὦ ξυγγένεια τῶν Ἀγήνορος τέκνων,
Ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
Γονυπετεῖς ἕδρας προσπιτνῶ σ',
Ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.

Pol. Pater mihi quidem est Œdipus Laii filius,
Peperit vero me Jocaste filia Menœcei,
Vocatque me Polynicem Thebanus populus.
Cho. O cognatio filiorum Agenoris,
Meorum dominorum, a quibus missa sum!
Procumbo ad genua tibi,
O rex, observans morem patrinm.

P. Ὦ συγγένεια τῶν Ἀγήνορος ἀπογόνων, τῶν ἐμῶν βασιλέων, ὑφ' ὧν δεῦρο ἀπεστάλην, γονυπετεῖ προσκύνησιν προσκυνῶ σε ἄναξ, τὴν ἀπὸ τῆς ἐμῆς πατρίδος συνήθειαν τιμῶσα. ἀφίκου, ... ἐπιστάμενον καὶ λέγειν, καὶ ᾧ τὸ τιμᾶσθαι κατὰ τοὺς τρόπους μᾶλλον ἢ δόξης ἐγένετο τοῦ πατρὸς, οὗτος δὴ ὁ Παγκράτιος ἐκέλευέ μοι συγγνώμην αἰτεῖν ἐν τοῖς γράμμασιν· καὶ μυρία ἂν τοιαῦτα σκοπῶν εὑρήσεις. 291. Λοξίου τ' ἐπ' ἐσχάρας] Διαφέρει Βωμὸς καὶ Ἐσχάρα. Βωμὸς γάρ ἐστιν, ὁ εἰς ὕψος ᾠκοδομημένος, καὶ ἀνάβασιν ἔχων· Ἐσχάρα δὲ, ἡ ἐν τετραγώνῳ * περὶ γῆν βάσις βωμοῦ τάξιν ἔχουσα ἄνευ ἀναβάσεως. ἢ Ἐσχάρα κυρίως τὸ πῦρ. 294. Ἑπτάστομον] Ἑπτάπυλος ἡ Θήβη κατεσκεύαστο, ὅτι πρὸς τὴν ἑπτάχορδον λύραν Ἀμφίονος κιθαρίζοντος ἐτειχοδομήθη. 298. Ὦ συγγένεια τῶν Ἀγήνορος] Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Φοῖνιξ καὶ Ἀγήνωρ, οὗ Κάδμος, οὗ Πολύδωρος, οὗ Λάβδακος, οὗ Λάϊος, οὗ Οἰδίπους, οὗ Ἐτεοκλῆς καὶ Πολυνείκης. —— ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Α'. — Ὦ συγγένεια] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, στίχων καὶ κώλων ι'. Ὁ α' καὶ ὁ β' ἴαμβοι τρίμετροι. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς χορείου. Τὸ δ' ἰαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ ε' ἐκ διϊάμβου ἐπιτρίτου β', καὶ βακχείου. Τὸ ἕκτον ἀντισπαστικὸν, δίμετρον ἀκατάληκτον, ἐκ β' ἀντισπάστων, τοῦ α' καθαροῦ, τοῦ β' ἐξαβραχέος. Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ α' ποδὸς χορείου. Τὸ η' ἀντισπαστικὸν δίμετρον, ὅμοιον τῷ ϛ' ἐξ ἀντισπάστου, καὶ διτροχαίου. Τὸ θ' † ἐκ παίωνος γ', καὶ ἰωνικοῦ, διὰ τὴν ἀδιάφορον. Τὸ ι' ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως] καὶ τροχαϊκῆς πενθημιμεροῦς. ἐπὶ τῷ τέλει παράγραφος. 300. Γονυπετεῖς] Ἀντὶ τοῦ γονυπετῶς. Ὡς τῶν Φοινίκων διὰ γονυκλισίας τιμώντων τοὺς βασιλεῖς. 301. Σέβουσα]

* Περὶ γῆν βάσις] Abresch. ad Æsch. p. 183. corrigit παρὰ γῆν βάσις, sed Valck. ἐπὶ γῆς βάσις. *Beck.*

† Ante ἐκ παίωνος γ' Valck. posuit puncta, quæ defectum indicent: desunt enim hic quædam de metro. *Beck.*

μενέα Κρονίωνα, Ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων. In quem locum multa Eustathius fol. 236. lin. 17. ubi et hæc ex Euripide: Πάλαι δέ σ' ἐξερωτῆσαι θέλων, Σχολή μ' ἀπεῖργε. Τοῦτο δὲ παντελῶς ἀθετήσαντα σολοικίζει, inquit ille, et iterum, ex Euripidis *Hippolyt.* 23. — πολλὰ δὲ πάλαι προκόψασ' οὐ πόνου πολλοῦ με δεῖ.

Et Ἐξὸν καθεύδειν τὴν ἐρωμένην ἔχων. *Barnes.*

292. πόλει Eustathius ad Il. B. p. 236, 36. (179, 16.) indicante Valckenærio, qui utramque constructionem probam esse ostendit. Cant. πόλις. Sed πόλιν Scholiastes ineditus ad Od. M. 181. *Por.* — In cod. Flor. — Ἀργείαν πόλιν. Eustath.

Αἷμα δάϊον φλέγει
Τᾶιδ', ὃ μὴ τύχοι, πόλει·
Κοινὰ γὰρ φίλων ἄχη,
Κοινὰ δ', εἴ τι πείσεται
Ἑπτάπυργος ἅδε γᾶ,
Φοινίσσᾳ χώρᾳ, φεῦ, φεῦ,
Κοινὸν αἷμα, κοινὰ τέκεα

Cædem diram incendit
Huic, quod utinam ne accidat, urbi:
Communes enim sunt amicorum dolores,
Communia etiam sunt, si quid patiatur
Septem munita turribus hæc terra,
Phœnissæ regioni. Eheu, heu!
Communis sanguis, communes liberi

P. χορὸς στρεφόμενος ἄφεβος κατὰ τοὺς ναοὺς τοῦ Ἀπόλλωνος τοὺς κατὰ τὸ μέσον τῆς γῆς. Νῦν γὰρ πόλεμος ὁρμητικὸς ἐλθὼν, φόνον τὸν ἀπὸ τῆς μάχης ἀνάπτει κατὰ τῆσδε τῆς πόλεως, εἴθε μὴ συμβαίη αὐτῇ. κοιναὶ γὰρ αἱ λῦπαι τῶν φίλων, τοῖς φίλοις δηλονότι· κοινὰ δὲ

S. 248. Αἷμα δάϊον] Πόλεμον ἀκμαῖον διεγείρει τῇδε τῇ πόλει. 251. Κοινὰ δ' εἴ τι πείσεται] Τὸ εἴ τι εἰπὼν, ἐπάγει πληθυντικῶς τὰ κοινὰ, οὐκ ἔξω λόγου· τὸ γὰρ εἴ τι ἀορίστως λεγόμενον ἐπὶ πολλὰ τείνει. πολλὴ δὲ ἡ χρῆσις τούτου καὶ παρὰ τῷ πεζῷ λόγῳ. 253. Φοινίσσᾳ χώρᾳ] Γράφεται, Φοίνισσα χώρα, κατ' εὐθεῖαν. * ἵν ᾖ ἀπὸ κοινοῦ τὸ πείσεται, εἴτι πείσεται ἅδε γᾶ, πείσεται καὶ Φοίνισσα χώρα. 254. Κοινὸν αἷμα] Τουτέστιν οἱ ἐκ Θηβῶν, καὶ οἱ ἐκ Φοινίσσης ἕν εἰσι γένος, τέκνα ὄντες Ἰοῦς, τῆς ἐρασθείσης μὲν ὑπὸ τοῦ Διὸς, εἰς [βοῦν δὲ ἀμειφθείσης παρ' αὐτοῦ, ἵνα λάθῃ τὴν Ἥραν. διὸ καὶ Κερασφόρον καλεῖ. "Κοινὰ τέκνα] Ὁ Φοῖνιξ καὶ Ἀγήνωρ υἱοὶ τῆς Ἰοῦς." 255. Ἰοῦς] Λέγεται καὶ ἡ Ἰνὼ,

* Ἵν' ᾖ] Lege ἵν' ᾖ. *Valck.*

κοινὸν — πέφυκεν
Ἰοῦς — πόνων. *Beck.*

246. Laudat Hephæst. de metris p. 18. ubi de metro trochaico dimetro catalecto s. Euripideo agit. Cod. Leid. pro δὲ habet γὰρ, quod est interpretamentum.

νῦν δ' ἐμοί. *Beck.*

248. Αἷμα δάϊον per se quidem significare potest *cædem bellicam*, at non videtur Mars hoc sensu dici posse αἷμα δάϊον φλέγειν πόλει. Propterea, et quia Schol. explicat, πόλεμον διεγείρει τῇδε τῇ πόλει, Valcken. emendat, χεῖμα δάϊον φλ. — *Mars bellicam, quod abominor, adversus hanc urbem excitat tempestatem*; χεῖμα, κῦμα, et similia de bello poni docet V. Reisk. conjicit φάσμα δάϊον φθογγεῖ, aut λέγει. alio tempore ait se conjecisse αἴγλαν pro αἷμα. Klotzius ad Tyrt. p. 119. mavult φλέγει mutare in πνέει, ut πνεῖν φόνον dicitur. *Beck.*

249. ποτὶ πόλει Cant. πόλει M. R et ποτὶ pro v. l. *Por.*

251. πείσεθ' Ald. et MSS. In versu sequenti γαιᾶ Ald. et codices nonnulli, sed plures γᾶ vel γῆ. *Por.*

Olim legebatur πείσεθ' et γαῖα, πείσεται et γᾶ cum King. et codd. Leidd. *Beck.*

252. ἅδε γᾶ edidit Br. *Beck.*

253. φοίνισσα χώρα D. *Beck.*

254. τέκεα MSS. plerique et sic voluit Aldus, τέκαι. Edd. et MSS. quidam τέκνα. *Por.*

Τέκεα] Ita MS. olim τέκνα, utrumque versui facit satis.

τέκεα etiam in membr. Br. et in D. *Beck.*

256. Lego: ὡς μέτεστί μοι πόνων. *Unde et ad me quoque pertinent labores.* *Musg.*

Τᾶς κερασφόρου πέφυκεν Ἰοῦς.
Ὧν μέτεστί μοι πόνων.
Ἀμφὶ δὲ πτόλιν νέφος — ἀντιστροφή.
Ἀσπίδων πυκνὸν φλέγει,
Σχῆμα φοινίου μάχης,
Ἂν Ἄρης τάχ' εἴσεται
Παισὶν Οἰδίπου φέρων

Cornigeræ sunt Ius :
Quibus laborum ego sum particeps.
Circum urbem autem nubes
Clypeorum densa incendit
Speciem cruentæ pugnæ,
Quam Mars mox veniet
Filiis Œdipi ferens,

P. τῇ χώρᾳ τῆς Φοινίκης εἴ τι πείσεται ἡ ἑπτάπυργος ἥδε γῆ. κοινὸν τὸ γένος τῶν ἐν τῇδε τῇ γῇ καὶ τῇ Φοινίκῃ, κεινὰ τέκνα τῆς βοὸς γενομένης Ἰοῦς ὑπάρχει. ὧν τῶν πόνων μετουσία ἐστί μοι. Περὶ δὲ τὴν πόλιν πλῆθος πυκνὸν ἀσπιδηφόρων ἀνδρῶν ἀνάπτεται, κατάστασις φονίου μάχης, ἣν (τὴν μάχην) Ἄρης ἴσως οἴσει κατὰ τῶν παίδων τοῦ Οἰδίποδος, φέρων

S. τῆς Ἰνόος, καὶ Ἰνοῦς· καὶ ἡ Ἰώ, τῆς Ἰόος, καὶ Ἰοῦς. ἀπὸ Ἰοῦς Ἔπαφος. οὗ Λιβύη· ἧς Βῆλος· οὗ Φοῖνιξ, καὶ Ἀγήνωρ· οὗ Ἀγήνορος, Κάδμος· οὗ Πολύδωρος· οὗ Λάβδακος· οὗ Λάϊος· οὗ Οἰδίπους. οὗ Ἐτεοκλῆς, καὶ Πολυνείκης. 258. Φλέγει] Τὸ νέφος τῶν ἀσπίδων φλέγει, καὶ οἱονεὶ ἀστράπτει. 259. Σχῆμα] Σημεῖον μάχης· οἰκεῖον δὲ τῇ συννεφείᾳ τὸ ἀστράπτειν. 260. Ἂν Ἄρης] Ἣν ὁ Ἄρης γνώσεται· ὁ δὲ νοῦς, ἣν μάχην φέρων τοῖς παισὶν Οἰδίπου ταχέως πορευθήσεται. ἄμεινον δὲ τὸ οἴσεται, ἀντὶ τοῦ ὁρμήσει. Ἂν Ἄρης τάχ' οἴσεται] Τὸ οἴσεται, εἰ μὲν ο καὶ ι γράφεις, οὕτως ἐρεῖς· ἣν μάχην ταχέως οἴσεται, καὶ κομίσει, καὶ ἄξει ὁ Ἄρης. εἰ δὲ ε καὶ ι οὕτως· ἣν μάχην ταχέως γνώσεται ὁ πόλεμος· τουτέστιν ἣ ταχέως γενήσεται, πρὸς πόλεμον τοῖς Θηβαίοις καταστάντων Ἀργείων

257. πτόλιν pro πόλιν Heathius ob metrum. *Por.*

Heath. πτόλιν legi jubet, ut metrum sibi constet. Battierius ap. Valck. Ἀμφὶ δὴ πόλιν, ut versus sit trochaicus dimeter catalectus.

πτόλιν ed. Br. In D. hæc et seqq. ita exhibentur :

ἀμφὶ δ. πόλιν ν. ἀσπίδων
πυκνὸν — φονίου (sic) μάχης.
ἂν α. τ. οἴσεται π. οἰδ.
φ. πημ. ἐριννύων.
ἃ. ὦ π. δειμαίνω
τὴν σὴν (omissum est ἀλκὰν) καὶ τὸ
θεόθεν.
οὐ γὰρ — τόνδ'
ἔνοπλος ὁρμᾶται (sic) παῖς ο. μ. δ.

νέφος ἀσπ. Gl. Cod. D. πλῆθος ἀσπιδοφόρων ἀνδρῶν. *Beck.*

πόλιν] Metrum postulat πτόλιν. *Musg.*

258. φλέγει] transitive accipiendum, ut supra v. 248. Æschyl. Pers. v. 395. σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν. *Musg.*

260. οἴσεται Ald. edd. pleræque et codices multi; sed εἴσεται quod Scaliger et Barnesius notarunt, memorat Scholiastes, habent Cant. K. M. membr. et pro v. l. R. οἴσεται M. pro v. l. J. ex emend. Ex Scholiastæ interpretatione πορευθήσεται, Valckenærius ἴξεται elicit, quod in textum intulit Musgravius. Verum ille εἴσεται pro futuro verbi εἶμι cepisse videtur. Iph. A. 975. τάχ' εἴσεται σίδηρος, ubi hunc locum laudat Marklandus. *Por.*

Pro οἴσεται olim lectum esse εἴσεται et ἴξεται e Schol. demonstrat Valck. qui præfert εἴσεται, hoc sensu : *quod (bellum) protinus inferre Mars se intelliget velut exitium Œdipi liberis a Furiis allatum.* τάχα εἴσομαι, τάχ' εἴσεται ap. Aristoph. et

Πημονὰν Ἐρινύων.
Ἄργος ὦ Πελασγικὸν,
Δειμαίνω τὰν σὰν ἀλκὰν,
Καὶ τὸ θεόθεν, οὐ γὰρ ἄδικον
Εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ,
Ὃς μετέρχεται δόμους.

Noxam ab Erinnybus.
Argos o Pelasgicum,
Metuo tuum robur,
Et divinam vindictam. Non enim injustum
Ad certamen hoc armatus ruit,
Qui suam repetit domum.

P. βλάβην ἕνεκα τῶν καταρῶν τοῦ Οἰδίποδος. ὦ Ἄργος, δέδοικα τὴν σὴν ἰσχὺν, καὶ τὴν δικαιοσύνην· οὐ γὰρ ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα, τὸν τῆς μάχης δηλονότι, ὥρμησεν ἔνοπλος ὁ παῖς ὃς ἀπαιτεῖ τὴν βασιλείαν. ———

S. 265. Καὶ τὸ θεόθεν] Τὸ δίκαιον, καὶ τὴν τοῦ θείου συμμαχίαν ἀεὶ τοῦ δικαίου προϊσταμένην, καὶ τοῖς δικαίοις ἐπαξίως συνερχομένην. 267. Μετέρχεται] Ἤγουν ζητεῖ, ἀπαιτεῖ δόμους, ἀντὶ τοῦ τὴν βασιλείαν· ἀπὸ μεταφορᾶς τῶν τοὺς φεύγοντας ζητούντων καταλαβεῖν. 268. Τὰ μὲν πυλωρῶν] Τὰ μὲν * πυλώματα τὰ ἐπιτετραμμένα τοῖς πυλωροῖς, δι' εὐκολίας με ὑπεδέξαντο. ὅθεν καὶ, διὰ τὸ εὐμαρῶς, καὶ εὐχερῶς, με ὑποδέξασθαι τοὺς φύλακας, ὑποπτεύω μὴ δόλος ἐστιν. Τὰ μὲν πυλωρῶν] Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων λ'. ὧν τελευταῖος "Καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς." ἐπὶ ταῖς

* Πυλώματα] Cod. Aug. τὰ μὲν θυρώματα ἐπιτετραμμένα τοῖς θυρωροῖς, tum statim ibi sequuntur hæc: Δι' εὐπετείας] Διὰ τὴν εὐμάρειαν καὶ τὸ εὐχ. με ὑπεδ. etc. ibid. δι' εὐκολίας ὑπεδ. *Beck.*

Æschyl. occurrit, et verbis *cognoscendi* sæpe sic addantur nominativi participiorum pro infinitivis verborum. Heath, causam nullam esse monet, cur stare εἴσεται non possit, hac nempe sententia: *Quam pugnam quasi aliquid sibi jucundum Mars statim accipiet.* Lectionem ἕξεται, ipso auctore, plane respuit verborum constructio, lectio εἴσεται languidior est.

εἴσεται Brunck. edidit e membr. *Beck.*

ἕξεται] Sic legendum haud dubie, ut olim scriptum fuisse ostendit Scholiastæ annotatio. πημονὰν Ἐρινύων quod sequitur, ad μάχην subintellectum per appositionem referendum est. *Quam* (sc. pugnam) *Mars statim afferet, cladem a Furiis ortam.* Ed. Ald. εἴσεται, Lib. P. εἴσεται. *Musg.*

261. Οἰδίπου] a recto Οἴδιπος. Vide Supplices v. 838. *Beck.*

262. Ἐρινύων] Gl. Cod. D. ἕνεκα τῶν καταρῶν τοῦ Οἰδίποδος. *Beck.*

264. Vocabulis τὴν σὴν in D. suprascr. ἰσχύν. *Beck.*

265. ἄδικος M. R. ed. King. *Por.*

Pro ἄδικον King. edidit ἄδικος, sed illud ob codd. suorum auctoritatem probat Valck.

265. ss. Gl. Cod. D. οὐ γὰρ ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα τὸν τῆς μάχης δηλονότι ὥρμησεν ἔνοπλος ὁ παῖς, ὃς μετέρχεται ἤγουν ζητεῖ, ἀπαιτεῖ τοὺς δόμους ἀντὶ τοῦ βασιλείαν. Et ad μετέρχεται adscriptum: ἀπὸ μεταφορᾶς τῶν τοὺς φεύγοντας ζητούντων καταλαβεῖν. *Beck.*

266. ὁρμᾶται codices quidam; sed παῖς addunt fere omnes cum Aldo, quod omittunt Kingius K. secutus, et Grotius. *Por.*

267. Παῖς ante ὃς μετ. etsi in codd. Leidd. et Flor. erat, tamen Valck. cum

ARGUMENTUM ACTUS SECUNDI.

Polynices, a matre per inducias accersitus, urbem domumque patris ingreditur, omnia suspecta habens, utpote qui fratris perfidiam probe noverit. Hujus adventum matri Chorus nuntiat. Illa post blanditias maternas objurgat filium ob conjugium externum, et Thebarum imminentem calamitatem deplorat. Polynices a necessitate se ad omnia adactum respondet, exsilii mala graphice depingit, et, quomodo Adrasti filiæ connubio sit potitus exponit; suamque expeditionem contra patriam excusat. Deinde superveniente Eteocle, Polynices causam suam exponit et jus suum petit. Eteocles ferox, nihil se de imperio remissurum affirmat, nedum minis eo adactum iri. Pia mater filiorum discordiam gravissima oratione diluere conatur, sed frustra. Post acerba itaque convicia utrinque disceditur. Chorus urbis et regni Thebani initia recitat, cœlique et soli beneficiis eam cumulatam agnoscit: Deos denique, ut illius statui jam periclitanti subveniant, orat. Hic actus in genere deliberativo totus versatur.

ΠΟΛΥΝΕΙΚΗΣ.

Τὰ μὲν πυλωρῶν κλεῖθρά μ' εἰσεδέξατο
Δι' εὐπετείας, τειχέων εἴσω μολεῖν·
Ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
Λαβόντες οὐ μεθῶσ' ἀναίμακτον χρόα.

POLYNICES.

Claustra quidem janitorum me receperunt
Facile, ut venirem in urbem.
Propter quod etiam metuo, ne me intra retia
Accipientes, non dimittant sine cæde corpus.

8. ἀποθέσεσι ἑκάστου συστήματος παράγραφος. Baroc. 74. 269. Δι' εὐπετείας] Δι' εὐμαρείας, δι' εὐχερείας. 271. Οὐ μεθῶσ'] Οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν. καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων ὅτι διαλαμβάνει περὶ τοῦ Φρῶ, * ταύτην τὴν χρῆσιν. —— Οὐ μεθῶσ'] Οὐκ ἀφῶσιν

* Post ταύτην τὴν χρῆσιν apud V. et M. puncta defectus indices posita—et ibidem pro περὶ τοῦ χρῶ editum π. τ. φρῶ. Valck. legi malebat: οἱ μὲν ὑποκριταὶ——ὅτι διαλαμβάνει περὶ τοῦ Φρῶ, ταύτην τὴν χρῆσιν παρατίθεται· nimirum in Euripidis versu olim fuisse οὐ προῶσ', hanc lectionem pronunciatu difficilem ab actore mutatam esse in οὐ μαθῶσ', Philoxenum, ubi ageret de verbo Φρῶ, secundum ipsum ex προΐω contracto, hanc attulisse ῥῆσιν Euripidis: οὐ προῶσ' etc. *Beck.*

King. omisit, deerat etiam in codd. Parisinis, quos Grot. inspexit. *Beck.*

268. κλῇθρα scripsit Br. *Beck.*

Alibi apud Eurip. scribitur κλῇθρα ex more Atticorum recentiorum. Nam Euripidis ævo nondum fuit Ionicum η Athenis receptum. Iones scribebant κλήϊθρα, talia Attici post Euclidis archontis magistratum contraxerunt. *Valck.*

270. ᾧ καὶ mavult Valckenærius, sed nihil opus videtur. *Por.*

Valck. corrigit ᾧ, quod rarissime a Tragicis ὃ et ἃ ponatur pro δι' ὃ, δι' ἃ, sed ᾧ sæpus pro *quamobrem*, v. eum ad v. 156. *Beck.*

Ὃ καὶ δέδοικα] Dubito, an Valck. assentiendum sit, legenti, ᾧ καὶ δέδοικα. vid. præter locum Soph. ab ipso citatum, qui est Œd. Colon. v. 1287. Andromach. v. 643. et 660. et Lambert. Bos. Ellips. Græc. p. 305. *Musg.*

271. Valcken. e Schol. demonstrat,

Ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον,
Κἀκεῖσε καὶ τὸ δεῦρο, μή δόλος τις ᾖ.
Ὡπλισμένος δὲ χεῖρα τῶιδε φασγάνῳ,
Τὰ πίστ' ἐμαυτῶι τοῦ θράσους παρέξομαι.
Ὠή, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
Ἅπαντα καὶ τολμῶσι δεινὰ φαίνεται,
Ὅταν δι' ἐχθρᾶς πούς ἀμείβηται χθονός.
Πέποιθα μέντοι μητρί, κοὐ πέποιθ' ἅμα,

Quapropter circumferendi sunt undique oculi
Huc et illuc, ne quis sit dolus.
Armatus vero manum hoc ense,
Fiduciam mihi ipsi confidentiæ præbebo:
Heus quid istuc est? an vero strepitum metuo?
Omnia enim audentibus periculosa videntur,
Quando per hostilem pes incedit terram.
Confisus sum matri, et tamen non plane confido,

S. ἄτρωτον. 274. Ὡπλισμένος δὲ χεῖρα τῶιδε φασγάνῳ] Ἀνόητον * τὴν χρῆσιν φασὶ τῷ ξίφει πιστεύειν, ταῖς σπονδαῖς δὲ μήπω, εἰ δὲ καὶ μόνος ὢν κρατῆσαι ἐδύνατο ἐπιβουλευόντων τοσούτων. ἀγνοοῦσι δὲ, ὅτι οἱ μετὰ ἀνάγκης ἐπί τινα κίνδυνον ἐρχόμενοι, οὐχὶ ἐκ τῶν ἐνδεχομένων θηρᾶσθαι τὴν ἀσφάλειαν ἐθέλουσιν, ἀλλ' οἵαν παρὰ τοῦ καιροῦ λαμβάνουσι, καὶ οἱ ἐπ' ἐρημίας μετὰ ξιφιδίου πορεύονται, ἧττον μὲν ὡπλισμένοι τῶν ὑποπτευομένων θηρῶν, ἢ λῃστῶν, ἄμεινον δὲ τῶν ἀνόπλων, τοῦτο καὶ Πολυνείκει συνέβη, ἀναγκασθεὶς γὰρ ἐπὶ διαλλαγὰς εἰς τὰς Θήβας ἐλθεῖν, ἔρχεται μὲν, ἵνα μὴ δόξῃ δύσερις εἶναι, δόλον δὲ ὑποπτεύων, τὴν ἀσφάλειαν κατὰ τὸ δυνατὸν † ἐπορίσατο, τὴν πίστιν τοῦ θαῤῥεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαῤῥεῖν. 276. Ὠή] Ἐπίφθεγμα ἀνακλήσεως τὸν κτύπον οὖν φησὶν ‡ ἀποφατικῶς ὄντα. ἤγουν τὸν κενὸν ψόφον ὑφορώμεθα. 281. Βώμιοι γὰρ ἐσχάραι] Ὥστε καταφυγεῖν

* Τὴν χρῆσιν] Valck. corrigit ἄν. τὴν τήρησιν. *Beck.*

† Ἐπορίσατο] In hoc verbo subsistendum, sequentia pertinent ad v. 275. et rectius ita leguntur in August. cod. Τὰ πίστ' ἐμαυτῷ] Ἤγουν τὴν πίστιν τοῦ θαῤῥεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαῤῥεῖν. Τοῦ θράσους παρέξομαι] Οἷον ἄρα θρασύνομαι τῷ ξίφει πιστεύων. *Beck.*

‡ Ἀποφατικῶς etc.—Hæc e Cod. Aug. sic corrigenda censet Valck. ἀποφαντικῶς, ἤγουν ὄντως τὸν κενὸν ψόφον ὑφορώμεθα. *Beck.*

olim hic lectum esse οὐ προῶσ', sed hanc lectionem mutatam ab histrionibus esse in faciliorem pronunciatu οὐ μεθῶσ' — Ad χρόα Heath. subintelligit κατά. *Beck.* μεθῶσιν D. *Beck.*

272. Aliter πανταχοῦ. *Por.*

Pro πανταχῇ Codd. nonnulli, et eos secutus King. exhibent πανταχοῦ. Sed πανταχῇ sæpe eo, quo hic, sensu occurrit, etiam in Aristoph. Thesm. 966. ubi huc et ad v. 366. respicitur, monente Valck. πανταχοῦ D. cum gl. πανταχόθεν, sed in Br. ed πανταχῇ. *Beck.*

273. Spectat hunc locum Aristoph: Av. 423. ubi et ad v. 347. Scholiastes h. l. laudat, sed vitiose. v. Obs. Misc. 5, 3. p. 168. *Beck.*

275. τὰ πίστ', i. e. τὴν πίστιν, fidem publicam. v. Dounæus Prælect. in Demosth. d. Pac. p. 71. *Beck.*

277. καὶ pro γὰρ est Valckenærii conjectura. *Por.*

Valck. conjicit Ἄπαντα καὶ τολμῶσι—

Ἥτις μ' ἔπεισε, δεῦρ' ὑπόσπονδον μολεῖν.
Ἀλλ' ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
Πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
Φέρ' ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
Καὶ τάσδ' ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
Ξέναι γυναῖκες, εἴπατ', ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;
ΧΟ. Φοίνισσα μὲν γῆ πατρὶς, ἡ θρέψασά με·

Quæ mihi persuasit, ut factis induciis huc venirem.
Sed prope est defensio: foci enim altarium
Prope adsunt, et non desertæ domus.
Age dimittam gladium in obscuram vaginam,
Et has interrogabo, quænam astent ædibus.
Peregrinæ mulieres, dicite, quanam ex patria
Adstatis ad Græcas domos?
Cho. Terra quidem Phœnissa patria aluit me:

S. ἐφ' αὐτοὺς, * εἰ δέοι. τοῦτο δὲ οὐ σύμφωνον τῷ, "Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ," θρασύδειλον γὰρ τὸν Πολυνείκην παρίστησι, πρῶτον μὲν φάσκοντα, "Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ, Τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι." νῦν δὲ τοὺς βωμοὺς πλησίον εἶναι φησὶν, οἷς προσφυγὼν νομίζει σωθήσεσθαι, καθάπερ ἱκέτης γενόμενος. Βώμιοι γὰρ ἐσχάραι] Ἐσχάρα κυρίως μὲν ἐπὶ τῆς γῆς βόθρος, ἔνθα σφαγιάζουσι, τοῖς κάτω ἐρχομένοις· Βωμὸς δὲ, ἐν ᾧ θύουσι τοῖς ἐπουρανίοις θεοῖς, νῦν οὖν Βώμιοι ἐσχάραι, τὰ κοιλώματα τῶν βωμῶν, ἢ κατὰ περίφρασιν οἱ βωμοί. Βώμιοι γὰρ ἐσχάραι] Ἐσχάρα, ἔνθα τὸ πῦρ ἥπτετο· Βωμὸς δὲ, τὸ περιέχον τὴν ἐσχάραν οἰκοδόμημα. 283. Κοὐκ ἔρημα δώματα] Τὰς ἀπὸ τοῦ χοροῦ ἐωρακὼς φησὶ τεθαῤῥηκέναι. † ἀσθενοῦς δὲ φησὶ ψυχῆς τεκμήριον. τί γὰρ ἔμελλον αὐτῷ γυναῖκες συμβαλέσθαι πρὸς κίνδυνον; Ἐς σκοτεινὰς περιβολὰς] Εἰς τὸν κουλεὸν, ἢ ὑπὸ τὴν χλαῖναν, ὃ καὶ ἄμεινον, ἵνα κεκαλυμμένον τὸ ξίφος ἔχῃ καὶ πρὸς ἄμυναν ἕτοιμον. 285. Ξέναι γυναῖκες] Ἢ ἀπὸ τῶν ἐνδυμάτων ἢ ἀπὸ τῶν λόγων ἔγνω αὐτὰς Πολυνείκης μὴ εἶναι καθαρὰς Ἑλληνίδας. καὶ γὰρ οὐ καθάπαξ Ἑλληνικῶς ὡμίλουν, ἀλλ' εἶχόν τι τῆς

* Εἰ δέοι] Valck. ex Aug. emendat ἐάν τι δέοι, vel ἐπάν τι δέοι. Mox pro σφαγιάζουσι Valck. putat ex Aug. restitui posse ἐναγίζουσι. *Beck.*
† Verba δέ φησι in cod. Aug. recte post ἀσθενοῦς deesse monet Valck. *Beck.*

Omnia quamvis fortibus faciunt metum. καὶ pro καίπερ, etiam cum participiis verborum positum, copiose illustrat V.
Ἅπαντα καὶ τολμῶσι Brunck. edidit, quod sententia καὶ, non γὰρ, postulet. *Beck.*
278. ἀμείβεται D. *Beck.*
279. μητρὶ ed. Br. *Beck.*
283. εἰς σκοτ. D. Mox ξίφους. *Beck.*
284. τὰς ἐφεστώσας δόμους Scaliger. Quod ex MS. ductum ostendit K. qui τὰς ἐφεστώσας habet, J. τὰς ἐφεστῶσαι. MSS. nonnulli etiam δόμους. *Por.*
δόμους D. et suprascr. ἐπί. *Beck.*
285. King. edidit Ξεῖναι γ' ut in cod. Leid. 1. In hujus vocabuli scriptura sæpe variare codices docet V. Paullo ante ἐφεστᾶσιν et v. 286. δώμασιν edidit King. et cum eo Valck. et sæpius ν ἐφελκυστικὸν, metro jubente, addidit.
ξεῖναι D. *Beck.*
286. πελάζετε;] Gl. Cod. D. τὴν ἀναστροφὴν ποιεῖσθε. *Beck.*

Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ' ἔπεμψαν ἐνθάδ' ἀκροθίνιον.
Μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
Μαντεῖα σεμνὰ, Λοξίου τ' ἐπ' ἐσχάρας,
Ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
Σὺ δ' ἀνταμείψαί μ', ὅστις ὢν ἐλήλυθας
Ἑπτάστομον πύργωμα Θηβαίας χθονός.

Agenoris vero nepotes ex spoliis belli
Miserunt me huc Phœbo primitias:
Cumque esset me missurus Œdipi filius inclytus
Ad venerandum oraculum et Apollinis aras,
Interea Argivi duxerunt exercitum ad urbem.
Tu vero vicissim responde mihi, quisnam sis, quid venis
Ad Thebanæ terræ septem portarum turrem.

S. πατρῴας φωνῆς. 288. Δορὸς] Λαφυραγωγίας. 289. "Ἀκροθίνιον] Τὴν ἐκ πόλεως τῆς "λείας ἀπαρχήν. Ἄλλως. Ἀκροθίνιον λέγεται ἡ ἐκ πόλεως λαφυραγωγία πεμπομένη "δῶρον." Ἀκροθίνιον] Τῆς λείας ἀπαρχήν. 290. Μέλλων δὲ πέμπειν] Σολοικοφανὲς τοῦτο ἐστιν. ἔδει γὰρ εἰπεῖν, μέλλοντος πέμπειν με Οἰδίποδος, ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι. ἢ οὕτως, μέλλων δὲ πέμψειν πρὶν ἰδεῖν τοὺς Ἀργείους ἐπιστρατεύσαντας, ἐν τοσούτῳ οἱ Ἀργεῖοι ἐπὶ τὴν πόλιν ἐστράτευσαν. Μέλλων δὲ πέμπειν με] Λέγουσιν ἀπαξάπαντες, ὡς ἡ σύνταξις αὕτη καθαρῶς σόλοικος· ἐποίησε δὲ Εὐριπίδης ἑκὼν, ὥσπερ καὶ Ὅμηρος πολλάκις· τέχνης γὰρ ὄντες ἀληθῶς ἐπιστήμονες καὶ οἷον ἀρχηγοὶ, εἰ καὶ τοῖς ὑπὲρ τέχνην ἅπαξ ἐχρήσαντο, τί θαυμαστόν; σὺ δὲ, τούτους ὡς ἠπατημένους ἐάσας, μὴ νόμιζε, τὸ ἐπεστράτευσαν πρὸς τὸ μέλλων ἀποδοθῆναι, ὥσπερ ἐκεῖνοι οἴονται. τοῦτο γὰρ καθαρῶς σόλοικον· ἀλλὰ πρὸς τὴν ἐπανάληψιν τὴν ἐν τῷδε. οἶσθα γὰρ, ὡς ἡνίκα ἂν ποιῶμεν ἐπαναλήψεις, ποτὲ μὲν τὴν ἀπόδοσιν, πρὸς τὴν πρόσθεν ἐπιφέρομεν σύνταξιν, ποτὲ δὲ ἐναλλάττομεν, ὡς θέλομεν, ὡς καὶ ἐνταῦθα γέγονε. Παραδείγματα τῆς ἐναλλαγῆς ταύτης ἄλλα τε πολλὰ καὶ τάδε· ——— παραμείψαντες δὲ τῶν ὀρῶν τοὺς ἑλιγμοὺς ἐπιφάνη τὸ ἄστυ, τοῦτο δὲ ἐγίγνετο τῆς ἀποστάσεως ἐν πεντήκοντα σταδίοις οὔσης καὶ ἑκατόν. ὁπότε οὖν ἐκλάμψειε, παρὰ μὲν τῶν ἄλλων σιγὴ ἦν. ἐνταῦθα γὰρ, οὐ πρὸς τὸ παραμείψαντες, ἐποίησε τὴν ἀπόδοσιν τὸ σιγὴ ἦν, ἀλλὰ πρὸς τὰς ἐπαναλήψεις. καὶ πάλιν ὁ αὐτὸς Λιβάνιος * ἐν τῷ πρὸς Ἰουλιανὸν ἐπιταφίῳ οὕτω φησὶ, διεξιὼν γὰρ πολίχνιον τὸ πρῶτον ἧς ὑπελάμβανε γῆς στέφανόν τινα κλάδων. πολλοὺς δὲ ἐκ καλωδίων τεταμένων εἰς κίονας ἐκ τοίχων ἐξαρτῶσιν οἱ δῆμοι μετεώρους· τούτων εἷς τῶν στεφάνων, ᾧ καλλωπίζομεν τὰς πόλεις, ἐκλυθεὶς τοῦ δεσμοῦ, καταβαίνων ἦν ἐν τῇ τοῦ βασιλέως κεφαλῇ, καὶ ἥρμοσε. καὶ ἑτέρωθι. (In Epist. n. 259.) Τὸν δὲ ἐμοὶ καὶ σοὶ φίλτατον, καὶ ᾧ μὴ χαριζόμενος αἰσχυνοίμην ἂν, Παγκράτιον, τὸν ἄρχειν

* Oratt. X. T. II. p. 270. D. et 271. A. cui e Schol. restitui jubet Valck. τεταμένων, et καὶ ἥρμοσε, vel ἥρμοζε, sed contra in Edd. Libanii melius esse κορυφῇ, quam in Schol. κεφαλῇ, putat. *Beck.*

290. Μέλλων δὲ πέμπειν.—Ἐν τῷδ' ἐπεστράτευσαν etc.] De hac syntaxi consule *Scholiasten.* Et multa quidem apud poëtas—διὰ τὸ πρὸς σημαινόμενον absque Solœcismo, quamquam σολοικοφανῶς dicta, explicantur. *Canterus* quoque notavit, apud poëtam nostrum haud semel hanc syntaxin usurpari; sed et *Helen.* v. 296 Κλείθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ' Ἰλίῳ Δοκοῦντες Ἑλένην Μενέλεῳ μ' ἐλθεῖν μόνα. Et in *Ion.* v. 940. Κακῶν γὰρ ἄρτι κῦμ' ὑπεξαντλῶν φρενὶ, Πρύμνηθεν αἴρει μ' ἄλλο σῶν λόγων ὕπο. *Sophocles* quoque et *Æschylus* hac phrasi sunt usi, hic bis, ille semel; ita *Canterus.* Sic *Homer.* Iliad. β'. v. 350. Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερ-

ΠΟ. Πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου·
Ἔτικτε δ' Ἰοκάστη με, παῖς Μενοικέως·
Καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς.
ΧΟ. Ὦ ξυγγένεια τῶν Ἀγήνορος τέκνων,
Ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
Γονυπετεῖς ἕδρας προσπιτνῶ σ',
Ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.

Pol. Pater mihi quidem est Œdipus Laii filius,
Peperit vero me Jocaste filia Menœcei,
Vocatque me Polynicem Thebanus populus.
Cho. O cognatio filiorum Agenoris,
Meorum dominorum, a quibus missa sum!
Procumbo ad genua tibi,
O rex, observans morem patrinm.

P. Ὦ συγγένεια τῶν Ἀγήνορος ἀπογόνων, τῶν ἐμῶν βασιλέων, ὑφ' ὧν δεῦρο ἀπεστάλην, γονυπετῆ προσκύνησιν προσκυνῶ σε ἄναξ, τὴν ἀπὸ τῆς ἐμῆς πατρίδος συνήθειαν τιμῶσα. ἀφίκου, ἐπιστάμενον καὶ λέγειν, καὶ ᾧ τὸ τιμᾶσθαι κατὰ τοὺς τρόπους μᾶλλον ἢ δόξης ἐγένετο τοῦ πατρός, οὗτος δὴ ὁ Παγκράτιος ἐκέλευέ μοι συγγνώμην αἰτεῖν ἐν τοῖς γράμμασιν· καὶ μυρία ἂν τοιαῦτα σκοπῶν εὑρήσεις. 291. Λοξίου τ' ἐπ' ἐσχάρας] Διαφέρει Βωμὸς καὶ Ἐσχάρα. Βωμὸς γάρ ἐστιν, ὁ εἰς ὕψος ᾠκοδομημένος, καὶ ἀνάβασιν ἔχων· Ἐσχάρα δέ, ἡ ἐν τετραγώνῳ * περὶ γῆν βάσις βωμοῦ τάξιν ἔχουσα ἄνευ ἀναβάσεως. ἢ Ἐσχάρα κυρίως τὸ πῦρ. 294. Ἑπτάστομον] Ἑπτάπυλος ἡ Θήβη κατεσκεύαστο, ὅτι πρὸς τὴν ἑπτάχορδον λύραν Ἀμφίονος κιθαρίζοντος ἐτειχοδομήθη. 298. Ὦ συγγένεια τῶν Ἀγήνορος] Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Φοῖνιξ καὶ Ἀγήνωρ, οὗ Κάδμος, οὗ Πολύδωρος, οὗ Λάβδακος, οὗ Λάϊος, οὗ Οἰδίπους, οὗ Ἐτεοκλῆς καὶ Πολυνείκης. —— ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Α'. — Ὦ συγγένεια] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, στίχων καὶ κώλων ι'. Ὁ α' καὶ ὁ β' ἴαμβοι τρίμετροι. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς χορείου. Τὸ δ' ἰαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ ε' ἐκ διϊάμβου ἐπιτρίτου β', καὶ βακχείου. Τὸ ἕκτον ἀντισπαστικὸν, δίμετρον ἀκατάληκτον, ἐκ β' ἀντισπάστων, τοῦ α' καθαροῦ, τοῦ β' ἐξαβραχέος. Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ α' ποδὸς χορείου. Τὸ η' ἀντισπαστικὸν δίμετρον, ὅμοιον τῷ ϛ' ἐξ ἀντισπάστου, καὶ διτροχαίου. Τὸ θ' † ἐκ παίωνος γ', καὶ ἰωνικοῦ, διὰ τὴν ἀδιάφορον. Τὸ ι' ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως] καὶ τροχαϊκῆς ἑφθημιμεροῦς. ἐπὶ τῷ τέλει παράγραφος. 300. Γονυπετεῖς] Ἀντὶ τοῦ γονυπετῶς. Ὡς τῶν Φοινίκων διὰ γονυκλισίας τιμώντων τοὺς βασιλεῖς. 301. Σέβουσα]

* Περὶ γῆν βάσις] Abresch. ad Æsch. p. 183. corrigit παρὰ γῆν βάσις, sed Valck. ἐπὶ γῆς βάσις. *Beck.*

† Ante ἐκ παίωνος γ' Valck. posuit puncta, quæ defectum indicent: desunt enim hic quædam de metro. *Beck.*

μενέα Κρονίωνα, Ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων. In quem locum multa Eustathius fol. 236. lin. 17. ubi et hæc ex Euripide: Πάλαι δέ σ' ἐξερωτῆσαι θέλων, Σχολή μ' ἀπεῖργε. Τοῦτο δὲ παντελῶς ἀθεάτευτα σολοικίζει, inquit ille, et iterum, ex Euripidis *Hippolyt.* 23. — πολλὰ δὲ πάλαι προκόψασ' οὐ πόνου πολλοῦ με δεῖ.

Et Ἐξὸν καθεύδειν τὴν ἐρωμένην ἔχων.
Barnes.

292. πόλει Eustathius ad Il. Β. p. 236, 36. (179, 16.) indicante Valckenærio, qui utramque constructionem probam esse ostendit. Cant. πόλις. Sed πόλιν Scholiastes ineditus ad Od. Μ. 181. *Por.*

In cod. Flor. — Ἀργείαν πόλιν. Eustath.

Ἔβας, ἔβας, ὦ χρόνῳ γᾶν πατρῴαν.
Ἰὼ πότνια, μόλε πρόδρομος,
Ἀναπέτασον πύλας·
Κλύεις, ὦ τεκοῦσα τόνδε

Venisti, venisti tandem post longum tempus in terram patriam.
Heus, veneranda Domina, venias celeriter,
Aperi portas,
Num audis, hunc quæ peperisti,

P, ὦ Πολύνεικες, διὰ χρόνου εἰς τὴν γῆν πατρῴαν. ἰὼ σεβασμία ἐλθὲ ἔξω δραμοῦσα, προαπαντῶσα, ἄνοιξον πύλας, ἀκούεις ὦ μῆτερ, ὦ τεκοῦσα τοῦτον; τί βραδύνεις ὑπώροφα μέλαθρα

S. Τιμῶσα καὶ φυλάττουσα. ἢ τιμῶσα, κατὰ τὸν πάτριον νόμον, ἢ φυλάττουσα τὸ ἔθος ἐκ τῆς θρησκείας. 304. Ἀναπέτασον] Κυρίως ἐπὶ καταρακτῶν λέγεται τὸ Ἀναπετᾶν, καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ πάσης πύλης. 308. Φοίνισσαν ὦ νεανίδες] "Οἱ τούτου ἐπιλαμβανόμενοι "καὶ λέγοντες, πῶς ——— οὐδὲν αὐτῶν εἰπουσῶν φοινικῶς, φησὶν Ἰοκάστη, Φοίνισσαν βοὰν "κλύουσα· ἀγνοοῦσιν, ὅτι κατὰ φωνὴν ὑποτίθεται ὁ Εὐριπίδης αὐτὰς τῇ κοινολογίᾳ τῶν Φοι"νίκων, οὐχ οἷον βαρβαρικὸν διαλαλούσας, ἐπεὶ οὐδ' ὁ Πολυνείκης αὐτῶν ἤκουσεν. ἀλλὰ τῷ "λαλιᾶς ἤχῳ ποιούσας τι τοιοῦτον, ὥστε σημαίνειν ὅτι εἰσὶ Φοίνισσαι, καὶ ἐμφαίνειν τινὰ "χαρακτῆρα τῆς πατρίδος φωνῆς." Εἰ γὰρ καὶ Ἑλληνικῶς ἐλάλουν, ἀλλ' οὖν γε τὴν πάτριον ἀπήχησιν ἔσωζον τῆς φωνῆς, ὡς Σοφοκλῆς ἐν Ἑλένης * ἀπαιτήσει. "Καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με Παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου. ——— ΠΕΡΙ ΤΟΥ ΜΕΤΡΟΥ ΤΗΣ ΣΤΡΟΦΗΣ Β΄.—Φοίνισσαν, ὦ] Τὰ τοιαῦτα εἴδη καλεῖται ὡς εἴρηται μονόστροφα, καὶ μετρικὰ ἄτακτα, καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους· ἔστιν οὖν ἡ παροῦσα στροφὴ κώλων ιη΄. Τὸ α΄ ἴαμβος τρίμετρος ἀκατάληκτος. Τὸ β΄ ἰαμβικὸν ἑφθημιμερές. Τὸ γ΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ΄, καὶ χοριάμβου, εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ΄ ἰωνικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου γ΄, καὶ ἰωνικὸν (lege ἰωνικοῦ) ἡμίσεος· εἰ δὲ βούλει, ἰωνικὸν (lege ἰαμβικὸν) δίμετρον βραχυκατάληκτον. Τὸ ε΄ ἰαμβικὴ βάσις. Τὸ ς΄ ἴαμβος τρίμετρος ὅμοιος τῷ α΄. Τὸ ζ΄ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ διϊάμβου, παίωνος δ΄ ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος, καὶ συλλαβῆς· εἰ δὲ βούλει, περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας· ἔχει δὲ ἡ τροχαϊκὴ συζυγία τὸν α΄ πόδα χορεῖον. Τὸ η΄ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον, ἢ ληκύθιον. Τὸ θ΄ ἰαμβικὸν, ἑφθημιμερές. Τὸ ι΄ χοριαμβικὸν τρίμετρον, καταληκτικὸν, ἐκ διτροχαίου, χοριάμβου, καὶ βακχείου· εἰ δὲ βούλει. ἰωνικὸν ἀπ' ἐλάττονος· τὸ γὰρ κύ καὶ βραχὺ παρ' Ὁμήρῳ εὕρηται. "(Κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης." Od. M. 60. Τὸ ια΄ ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος γ΄ ἀντὶ ἰωνικοῦ, ἐπιτρίτου

ad Il. β. p. 179, 16. Ἀργεῖοι πόλει, sed ἐπιστρατεύειν cum tertio et cum quarto casu construitur. v. Valck. qui observat, Nominativos Μέλλων — γόνος poni pro genitivis consequentiæ.

Ἐν τῷδ' Gl. God. D. ἐν τοσούτῳ ἤγουν ἐν τῷ μέλλειν πέμπειν ἐμέ. *Beck.*

296. παῖς μὲν οἰνέως sic Cod. D. *Beck.*

298. ξυγγένεια ed. Br. *Beck.*

300. γονυπετεῖ σ' ἕδρᾳ προσπιτνῶ, conjecturam Valckenærii, male recepit Brunckius. Si enim προσπιτνεῖν σε et προσπιτνεῖν ἕδραν separatim recte dicantur, cur non etiam conjunctim? Sophocl. Trach. 49. πολλὰ μέν σ' ἐγὼ Κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα Τὴν Ἡράκλειον ἔξοδον γοωμένην. Ubi constructio usitatior esset, πανδακρύτοις ὀδύρμασι. *Por.*

300. 301. Ita exhibet Beckius:

Γονυπετεῖς ἕδρας προσπιτνῶ
Σ', ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.

Versus, 300. (B.) auctore Heath. periodicus. Valck. scribendum censet: Γονυπετεῖ σ' ἕδρᾳ προσπιτνῶ. Ὦ 'ναξ τ. ο. ν. σ. Neque enim γονυπετεῖς ἕδρας προσπίπτειν dici Græce posse pro, *procumbere ad genua*. Defendit vulgarem scripturam Abresch. Auct. Dil. p. 374. et confert cum his dictionibus Pausaniæ: καθεύδοντας ὑπεστρῶσθαι φύλλα (p. 392.) παρθένος ἐπικειμένη κάλυμμα ἐπὶ τῇ κεφαλῇ (p. 426.) ὁ Ἑρμῆς ἐπικείμενος τῇ κεφαλῇ κυνῆν (p. 440.)

Ver. 300. (B.) σ' e sequente versu ad hunc refert D. Brunck. ex emendatione Valck. edidit; γονυπετεῖ σ' ἕδρᾳ προσπιτνῶ.

Μᾶτερ; τί μέλλεις ὑπώροφα μέλαθρα
Περᾶν, θίγειν τ' ὠλέναις τέκνου;
ΙΟ. Φοίνισσαν, ὦ νεάνιδες,
Βοὰν ἔσω δόμων κλύουσα τῶνδε,

Mater? quid cunctaris excelsa atria
Transire, et amplecti ulnis filium?
Joc. O puellæ, vocem Phœnissam
Intra ædes istas audiens,

P. διεξέρχεσθαι, καὶ ψαύειν ταῖς σαῖς ὠλέναις, ἤγουν ἀγκάλαις, τοῦ σοῦ τέκνου. ——— ὦ

968. χρᾶται Ald. χρεῖται Cant. χρῇ J. Sed χρῆται Schol. Bodleiani omnes, teste Burtono, C. D. K. L. M. R. duo Leidenses, Eustathius ad Il. A. p. 48, 42. (36, 46.) Idem tamen ex Oreste 697. citat χρᾶσθαι ad Od. A. p. 1396. 42. (27, 36.) *Por.*

χρῆται D. ut et Br. *Beck.*

χρῆται] Ita MSS. Bodl. et Leid. cum uno Reg. Soc. Ed. Ald. χρᾶται. *Musg.*

Τὰ μὲν παρ' ἡμῶν πάντ' ἔχεις· ἡγοῦ, τέκνον,
Πρὸς οἶκον· ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
Μάταιος· ἢν μὲν ἐχθρὰ σημήνας τύχῃ,
Πικρὸς καθέστηχ', οἷς ἂν οἰωνοσκοπῇ·
Ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων,
'Αδικεῖ τὰ τῶν θεῶν· Φοῖβον ἀνθρώποις μόνον

Quæ igitur a nobis *dici poterant*, omnia habes: duc, filia,
Ad domum. Quicunque enim utitur divinandi arte,
Stultus est. Etenim si forte dixerit inimica,
Acerbus est iis, quibus vaticinatur:
Dicens vero falsa propter commiserationem consulentium,
Violat deorum jura. Solum Phœbum hominibus

λώσας μισητὰ, ἐπαχθὴς ἐγένετο, ἐκείνοις δηλονότι, ὧν χάριν τὰς μαντείας ποιῆται· ψευδῆ τοῖς χρωμένοις λέγων ὑπὸ συμπαθείας, ἀδικεῖ εἰς τοὺς θεοὺς ψευδόμενος, κρύπτων τὸ ἀλη- καὶ μὴ διάδηλον ποιῶν τὴν δύναμιν αὐτῶν καὶ τὴν δωρεάν. τὸν 'Απόλλωνα δὲ μόνον πρέ-

φειν. 964. Μέλαιναν κῆρ' ἐπ. ὀμ. β.] Βαλὼν ἐπὶ τοῖς ὄμμασιν αὐτοῦ κῆρα μέλαιναν, τοῦ, ἀμαυρώσεως ποιητικήν. 965. Κλεινάς τε Θήβας] 'Ενδόξους, θήσει ἀπὸ κοινοῦ. ἑλοῦ δυοῖν] Τούτων τῶν δύο * δυστυχιῶν ἤγουν τὸ καταστραφῆναι τὴν πόλιν, ἢ τὸν παῖδα ἀποθανεῖν, ἑλοῦ, πρόκρινε, ἔκλεξαι τὴν ἑτέραν. ἢ γὰρ τὸν σὸν παῖδα σῶσον καὶ καταστραφῆναι τὴν πόλιν, ἢ τὴν πόλιν σῶσον, καὶ ἔασον φονευθῆναι τὸν σὸν παῖδα. 967. μὲν παρ' ἡμῶν] Ἤγουν τοὺς λόγους πάντας, οὓς ἦν δυνατὸν ῥηθῆναι παρ' ἐμοῦ, ἔχεις, ἀκού- δηλονότι. 970. 'Εχθρὸς] Καθὰ τὸ Φίλος λέγεται μὲν καὶ ἐπὶ τοῦ φιλουμένου, λέγεται δὲ ἐπὶ τοῦ φιλοῦντος· οὕτω καὶ τὸ 'Εχθρὸς λέγεται καὶ ἐπὶ τοῦ ἐχθαίροντος, ἐνίοτε δὲ ἐπὶ τοῦ

* In Schol. ad h. l. pro δυστυχιῶν miram exhibet D. lectionem: δύο στοιχείων. *Beck.*

esych. 'Εμπύρια, μαντεῖα, παρὰ Βοιω- *Heath.*

69. ἣν μὲν γὰρ Ald. sed γὰρ omittunt i MSS. *Por.*

άταιος. ἣν μὲν ἐχθρὰ] Legebatur hac- s μάταιος· ἣν μὲν γὰρ ἐχθρὰ, et *Joh.* onus τὸ μὲν delebat, quum tamen nul- etri necessitas id postularet: *Amphi-* r enim, aut *dactylus*, non male in o loco: sed jam video, in MSS. τὸ γὰρ ti; quare ita nunc scribimus. *Barnes.* eest hic versus in Leid. 2. sed mox ro Πικρὸς legitur 'Εχθρὸς, ut in Cod. . Soc. ap. King. Scripserat forsan Eu- les: ἣν μὲν πικρὰ σημ. τ. 'Εχθρὸς κ. ο. ωνοσκοποῖ (οἰωνοσκοποῖ est in cod. Flor. n lectionem repudiat Markland. ad pl. 898. quod potius esse debuisset σκοποίη)· nisi hic quoque tragicus ad um inter τύχῃ et 'Εχθρὸς vitandum vum inverterit vocum ordinem. Πι- sæpe indicat τὸν ἐχθρὸν, atque ita e- a grammaticis redditur. Sed vel ob morum vel ob verborum asperitatem homines dicuntur sæpius πικροὶ, Euripides tamen, nuspiam inimicum appellans πικρὸν, verbis hoc passim tribuit. Recte igitur legeretur πικρὰ σημήνας. Alterum ἐχθρὸς καθέστηχ' ibidem Euripideum est. v. Valck. qui etiam sententiam vatis similibus dictis illustrat.

Post μάταιος punctum est in D. et ed. Br. *Beck.*

ἣν μὲν ἐχθρὰ] Ita MSS. Bodl. Cantabr. et Lib. P. Ed. Ald. ἣν μὲν γὰρ ἐχθρά. *Musg.*

970. ἐχθρὸς MSS. quidam, unde transponere malit Valckenærius, πικρὰ—ἐχθρὸς κ. Deinde e Flor. probat οἰωνοσκοποῖ. *Por.*

οἰωνοσκοπεῖ D. Sed Br. οἷς ἂν οἰωνοσκοπῇ cum membr. retinuit. *Beck.*

972. Φοῖβον—θεσπ. laudat Plutarch. de Pyth. Orac. p. 407. B. ubi pro χρῆν est χρή. Leid. 1. ἐχρῆν. 2. χρῆν cum interpretamento πρέπον ἦν. Sæpe a librariis

Χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.
ΧΟ. Κρέον, τί σιγᾷς, γῆρυν ἄφθογγον σχάσας;
Κἀμοὶ γὰρ οὐδὲν ἧσσον ἔκπληξις πάρα.
ΚΡ. Τί δ' ἂν τις εἴποι; δῆλον οἵγ' ἐμοὶ λόγοι.
Ἐγὼ γὰρ οὔποτ' εἰς τόδ' εἶμι συμφορᾶς,
Ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
Πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος,

Oportebat vaticinari, quia neminem timet.
Cho. Creon, quid taces, vocem silentio premens?
Etenim mihi non minus quam tibi stupor adest.
Cre. Quid enim dicat aliquis? manifestum quid mea oratio.
Ego enim nunquam eo veniam calamitatis,
Ut cædendum filium addicam civitati.
Omnibus enim hominibus est amans liberorum vita:

P. πει χρησμοὺς διδόναι τοῖς βροτοῖς, ὃς οὐ φοβεῖται τινά. ὦ Κρέον, τί σιωπᾷς, τὴν φωνὴν ἄχρι ἐπισχὼν, καὶ οὐκ ἔτι φθεγγόμενος; κἀγώ σοι οὐδὲν ἧττον συναλγῶ, ἀλλ' οὐ σιωπῆς, βουλῆς δὲ μᾶλλον καιρός ἐστιν· διὸ ἔδει λαλεῖν σε. ἐγὼ γὰρ οὐδέποτε εἰς τοῦτο τῆς συμφορᾶς, ἀντὶ τοῦ εἰς τοιαύτην συμφορὰν, ἀπελεύσομαι, ὥστε παραθεῖναι τῇ πόλει τοῦτον σφαγέντα, ἀντὶ τοῦ ὥστε σφαγιασθῆναι ὑπὲρ τῆς πόλεως. πᾶσι γὰρ ἀνθρώποις ὑπάρχει φιλότεκνος ὁ

S. πρὸς ὃν ἡ ἔχθρα. 974. Κρέον, τί σιγᾷς] Ὡς εἰ ἔλεγεν, οὐ σιωπῆς σοι καιρὸς ἀκούσαντι ταῦτα, ἀλλὰ βουλεύσασθαί τι καὶ πρᾶξαι. Κρέον, τί σιγᾷς] Ἰδὼν ὁ χορὸς ἄφθογγον ὑπ' ἀπορίας Κρέοντα, φησὶ, τί σιωπᾷς· ἀλλ' ἐπειδὴ τοιαῦτα ἤκουσας δεῖ σε βουλεύεσθαι τί πράξειν. καὶ γὰρ κἀγὼ ἀκούσας οὐδὲν ἧττον ἢ σὺ ἐκπλήττομαι, ἀλλ' οὐκ ἡγοῦμαι νῦν καιρὸν ἔχειν τὴν σιωπήν. Σχάσας] Μεταφορικῶς ἀντὶ τοῦ ἀποκόψας, καὶ ἀποκλείσας. Ἄφθογγον δὲ γῆρυν, ἀντὶ τοῦ ἄηχον. 976. Δῆλον οἵγ' ἐμοὶ λόγοι] Δῆλον ὅτι οὐδὲν ἄλλο, ἢ ὥστε μὴ προσθεῖναι τὸν υἱὸν τῇ πόλει σφάγιον. Δῆλον] Τουτέστι δήλοι, ἢ λείπει τὸ πρᾶγμα. δηλοῖ τὸ πρᾶγμα. 978. " Σφαγέντα] Ἀντὶ τοῦ σφαγησόμενον. 979. Φιλότεκνος βίος] Ἤγουν πάντες γὰρ οἱ ἄνθρωποι φιλότεκνον ζωὴν ζῶσιν ἀντὶ τοῦ μετὰ τοῦ φιλεῖν τὰ ἑαυτῶν τέκνα

permutata sunt χρὴ et χρῆν, et χρῆν non tantum est pro ἔπρεπε, sed etiam pro πρέπει. v. Valck.

τῶν ante θεῶν omisit D. *Beck.*

974. Ultima, ob verbum σχάζειν, excitat Eustath. ad Il. δ. p. 335, 14. Similiter hoc verbum legitur supra v. 464. quem locum laudat Schol. Arist. Nub. 107. Valck. Paullo ante Reisk. hæc: Κρέον (extra versum) ἐν δέοντι σιγᾷς. Colliquescunt secunda et tertia littera vocis δέοντι in unam syllabam, inter scandendum. *Beck.*

975. μὲν pro γὰρ Schol. Leid. pr. μὲν γὰρ Cant. *Por.*

ἧσσον Br. scripsit. *Beck.*

Κἀμοὶ μὲν Leid. 1. In Leid. 2. οὐδὲ pro οὐδέν. *Valck.*

976. εἴπῃ cod. Cant. Vulgatum præfert Valck. Mox Reisk. scribit: δῆλοι οἷοί μοι, *liquet per se, quid ego responsurus sim.* Abresch. Auct. Dil. Thuc. p. 225. post λόγοι supplet ποιοῦσιν.

In D. non post εἴποι interpungitur, sed post δῆλον. *Beck.*

977. Valck. mavult: Ἐγὼ μὲν οὔ ποτ' — Sequentia, inprimis v. 981. admiratur Grotius Prolegg. p. 23. paterni velut affectus imaginem pulcherrimam. *Beck.*

978. τόνδε pro παῖδα J. et Paraphrastes, non male. *Por.*

979. πᾶσι D. *Beck.*

980. αὑτοῦ D. *Beck.*

982. βίῳ] Optime Reiskius, βίου. Sic ἐν κακῷ χειμῶνος. Soph. Ajac. 1163. *Musg.*

983. εἰμὶ addit Aldus, sed nesciunt codices. Attici quidem sæpe omittunt, non-

Οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
Μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα·
Αὐτὸς δ', ἐν ὡραίῳ γὰρ ἵσταμαι βίῳ,
Θνήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον.
Ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
Ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
Φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός.

Neque aliquis suum ipsius filium dederit ad interficiendum.
Ne laudat me quisquam, occidens meos liberos.
Ipse vero, sum enim in maturitate vitæ,
Paratus sum mori, patriæ piaculum.
Verum age, fili, priusquam resciscat tota civitas,
Missis improbis oraculis vatum,
Fuge quam celerrime cedens ex hac terra.

...ς, ἤγουν πάντες ἄνθρωποι τὰ ἑαυτῶν τέκνα φιλοῦσι, οὐδέ τις ἂν δοίη τὸν αὑτοῦ παῖδα ὥστε ...ευθῆναι. μὴ ἐπαινείτω με τὶς, λόγους εὐλόγους λέγων, τἀμὰ τέκνα συμβουλεύων με κτεί... ἐγὼ δὲ θνήσκειν ὑπὲρ πατρίδος ἕτοιμός εἰμι, ἀπολυόμενος αὐτὴν τῶν περιεστώτων κα..., ἐν ζωῇ γὰρ ἐγκαίρῳ καθίσταμαι. ἀλλ' ἄγε, ὦ παῖ, πρὸ τοῦ τὴν πόλιν μαθεῖν, τὰ ...ίδευτα τοῦ μάντεως ἐάσας χρηστήρια, φεῦγε λίαν ταχέως τῆς χθονὸς ταύτης ἐλευθερω-

...ουσι τὴν ζωὴν, τουτέστι φιλότεκνοι εἰσίν. ὅμοιον ὥσπερ ἄν τις εἴποι, ἀμελῆ ζωὴν ζῶ, τουτέστι ...ελής εἰμι. οὐ γάρ ἡ ζωή ἐστιν ἀμελὴς, ὥσπερ οὐδὲ φιλότεκνος, ἀλλ' οἱ τὴν ζωὴν ζῶντες ἀμελείᾳ καὶ φιλοτεκνίᾳ, οὗτοι εἰσὶν εἰκότως ἀμελεῖς καὶ φιλότεκνοι. Cod. D. 980. ...ν κτανεῖν] Ἤγουν εἰς τὸ κτανεῖν αὐτόν τινα. Ὁμηρον τὸ, ἡδὺς ποταμὸς πιεῖν. ...1. Μή μ' εὐλογείτω] Μὴ ἐπαινείτω, καὶ μεγαλόψυχον λεγέτω, εἰ προείμην τὸν παῖδα. ...2. "Ἐν ὡραίῳ γὰρ ἵσταμαι βίῳ] Ὥραν καὶ καιρὸν ἔχοντι θανάτου. Ἐγὼ δὲ αὐτὸς] ...σὶν, ἐν τῷ καιρῷ τῆς τελευτῆς ὑπάρχω, γέρων ὑπάρχων." 983. "Ἐκλυτήριον. Ἀπολυτήριον, ἴαμα κακῶν, ἀπολυόμενος τὴν πατρίδα τῶν περιεστώτων αὐτῇ κακῶν." ...λυτήριον] Ἐλευθερωτήριον, εἰς ἐλευθερίαν, εἰς λύτρωσιν. 985. "Ἀκόλαστ'] Ἤγουν τὰ

...uam tamen addunt, ut supra 494. ...306. *Por.*

...ήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον] ...ο τὸ εἰμὶ, ut superfluum. Vid. *Gul.* ...ri Novar. Lection. l. 4. c. 1. Et favet *Codex Heinsio-Scaligerianus.* ...τius τὸ εἰμὶ retinet, et τὸ θνήσκειν de...m putat, certe alterutrum tolli de... *Johannes Miltonus Duporti* partes ...dit; *Æmilius Portus Canteri*; qui... videl. *Porto* et *Cantero*, cum *Hein*...*aligeroque*, nos accedimus. Præter... MS. toties laudatum legit Θνήσκειν ...ος πατρίδος ἐκλυτήριον. *Barnes.*

...nnulli viri docti perperam dubita... an εἰμὶ delendum sit, et maluerunt ...ιν ejicere. Scripsisse potius potu... Eur.: Θνήσκειν ἕτοιμος εἰμὶ, γῆς λυτή... Sed usurpatur ab Atticis ἕτοιμος, se... te infinitivo, etiam sine verbo εἰμί. v. ...r.

ἐκλυτήριον] Gl. Cod. D. εἰς ἐλευθερίαν, εἰς ἐκλύτρωσιν. *Beck.*

Ed. Ald. θνήσκειν ἕτοιμός εἰμι. Sed εἰμὶ recte omittunt MSS. vid. Dorvil. ad Chariton. p. 49. *Musg.*

985. Plerique codices μάντεως, sed ex meliori Aldus μάντεων, quod ex Statio Theb. X. 717. confirmat Valckenaerius: *Non me ulli monitus, nec vatum exorsa furentum Sollicitant, manesque movent; sibi callidus ista Tiresias, nataeque canat.* *Por.*

Pro μάντεων Kingius e codd. suis, quibuscum faciant 2. Leidd. dedit μάντεως. At vulgatum retinuit Valck., quia illud secutus est Statius Theb. 10, 717. *Non me ulli monitus, nec* vatum exorsa furentum *Sollicitant, manesque movent: sibi callidus ista Tiresias natæque canat,* Præterea pluralis numerus solet in contemtum adhiberi. v. Valck.

Λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
Πύλας ἐφ᾽ ἑπτὰ, καὶ λοχαγέτας μολών.
Κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία·
Ἢν δ᾽ ὑστερήσῃς, οἰχόμεσθα, κατθανεῖ.

ΜΕΝΟΙΚΕΥΣ.

Ποῖ δῆτα φεύγω; τίνα πόλιν, τίνα ξένων;

Dicet enim principibus, et ducibus hæc,
Vadens ad septem portas, et ad duces.
Et si anteverterimus, servaberis:
Si vero serus fueris, perimus, occideris.

MENŒCEUS.

Quo fugiam igitur, ad quam civitatem? ad quem hospitem?

P. θεὶς. λέξει γὰρ τοῖς ἄρχουσι καὶ τοῖς στρατηγοῖς ταῦτα, ἐπὶ τὰς ἑπτὰ πύλας καὶ τοὺς λοχαγέτας παραγενόμενος, καὶ ἐὰν προφθάσωμεν, ὑπάρχει σοι σωτηρία· ἐὰν δὲ ὑστερηθῇς, ἀπωλόμεθα, ἀποθανῇ γάρ. ποῦ λοιπὸν φύγω, εἰς τίνα πόλιν, εἰς τίνα τῶν φίλων; ὅπου μακρὰν μάλιστα τῆσδε τῆς γῆς γενήσῃ πρέπον σε λοιπὸν ὅπου πορευθῶ λέγειν, ἐκπληροῦν δ᾽ ἐμέ.

S. "μὴ ὑποπίπτοντα κολάσει, μετ᾽ ἐξουσίας δὲ λεγόμενα, ἢ ἀνεξέταστα, ἀβασάνιστα, τόλμης "γέμοντα." "Ἐάσας] Ἀτελῆ· τολμηρᾷ προπομπῇ." 987. "Λέξει γὰρ ἀρχαῖς] Τοῖς "ἄρχουσι, τοῖς ἡγεμόσι, τοῖς βασιλεῦσιν. Ἤρκει οὗτος ὁ στίχος· ὁ γὰρ ἐπιφερόμενος περιττός ἐστιν, 'Πύλας ἐφ᾽ ἑπτὰ καὶ λοχαγέτας μολών.' ἐπὶ τοὺς στρατηλάτας μολών." 990. Ἢν δ᾽ ὑστερήσῃς] Ἐναντίον τὸ Ὑστερεῖν τῷ Προφθάνειν. 994. Δελφοὺς περάσας] Ἐκ τῶν Δελφῶν δηλονότι· εἰς οὐδὲν δὲ χρήσιμον τοπογραφεῖ· μᾶλλον δὲ αὐτὸν ἐχρῆν σκοπεῖν, ὅπως τῶν πολεμίων παρακαθιζομένων λήσῃ φεύγων ὁ Μενοικεύς. "Πῆ με χρὴ] Ἡ "σύνταξις οὕτως, ἐκ δὲ τῶν Δελφῶν πῆ με χρὴ μολεῖν." 995. "Αἰτωλίδ᾽ εἰς γῆν] Ὄνομα

ἀκόλαστ᾽ Gl. Cod. D. τὰ ἀπαίδευτα, καὶ χωρὶς συστολῆς εἰρημένα. *Beck.*

986. ἀπαλλαγεὶς Ald. Asperas et antiquas formas adamarunt Tragici, ideoque aoristos priores prætulere. Sic habet ἐθρέφθην Noster Hec. 355. θρεφθῆναι ex eadem fabula 600, et κρυφθεὶς ex Orest. 42. citat Eustathius ad Il. E. p. 519, 41. 44. (393, 27, 29.) θαφθεῖσι, quod ex Herodoto ibidem memorat, invenies VII. 228. ἐθάφθη Simonidi restituendum pro ἐκάμφθη apud Athen. III. p. 125. D. In loco supra ex Hecuba laudato τραφῆναι habent J. N. et in textu R. sed hic θρεφθῆναι pro v. l. Duo MSS. Herodoti II. 81. ταφῆναι pro θαφθῆναι. Recte igitur ἀπαλλαχθεὶς ex pluribus MSS. reposuit Valckenærius, sed successu paullo confidentior factus, e Tragicorum reliquiis infelicem illum aoristum exstirpare conatur. Et hoc quidem per metrum fieri potest in Æschyli Agam. 344. et Sophoclis Antig. 428. (422.) quid autem faciet Æschyli Prom. 749. ἀπηλλάγην; κρεῖσσον γὰρ εἰς ἅπαξ θανεῖν. Male etiam affirmat, ne semel quidem ἀπαλλαγεὶς aut ἀπαλλαγῆναι apud Nostrum inveniri, cum ἀπηλλάγης exstet in Androm. 593. quanquam et illud sine metri jactura mutari poterat. Sed quomodo factum est, ut duo loca hujus ipsius fabulæ 601. 1424. prætervide-rit? *Por.*

Iones et veteres Attici aoristos primos frequentabant, sed Attici recentiores, emollitam sectantes dialectum, in plerisque secundos aoristos prætulerunt, qui faciliores erant pronuntiatu, et auribus jucundiores. Apud Tragicos veteribus At-

ΚΡ. Ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσει.
ΜΕ. Οὐκοῦν σὲ φράζειν εἰκὸς, ἐκπονεῖν δ' ἐμέ.
ΚΡ. Δελφοὺς περάσας. ΜΕ. Ποῖ με χρὴ, πάτερ, μολεῖν;
ΚΡ. Αἰτωλίδ' ἐς γῆν. ΜΕ. Ἐκ δὲ τῆσδε ποῖ περῶ;
ΚΡ. Θεσπρωτὸν οὖδας. ΜΕ. Σεμνὰ Δωδώνης βάθρα;
ΚΡ. Ἔγνως. ΜΕ. Τί δῆτα ῥῦμά μοι γενήσεται;

Cre. Ubi quam longissime ab hac terra aberis.
Me. Ergo te dicere convenit, me autem facere.
Cre. Delphos transiens — *Me.* Quonam me oportet ire, o Pater?
Cre. In terram Ætolorum. *Me.* Ex illa vero quo fugiam?
Cre. Ad solum Thesprotorum. *Me.* Religiosam ad sedem Dodonæ?
Cre. Scis. *Me.* Quod vero tutamen mihi erit?

κ τῶν Δελφῶν περάσας δηλονότι ποῖ με χρὴ ἀπελθεῖν τοὺς Δελφοὺς διαβάντα; εἰς τὴν ν Αἰτωλῶν γῆν· ἐκ δὲ τῆσδε ποῖ περάσω; εἰς τὴν γῆν τῶν Θεσπρωτῶν. εἰς τὸν τόπον α ἵδρυται ἡ σεμνὴ Δωδώνη; τί πρᾶγμα γενήσεται εἰς ἔρυμα, ἀντὶ τοῦ ἀσφάλεια γενή-

ἔθνους ἀπὸ Αἰτωλοῦ. ἡ λεγομένη Βόντιζα, ἐπισκοπῆς Ναυπάκτου." 996. Θεσπρωτὸν ας] Εἰς τὴν τῶν Θεσπρωτῶν γῆν, εἰς τὴν νῦν κοινῶς λεγομένην * Δρυνόπολιν, πλησίον τῆς Δωδώνης χώρας· τοῦτο γὰρ λέγει βάθρα, οἱονεὶ θεμέλιοι καὶ ὅροι. Σεμνὰ] Τὰ σεσμια τῆς Δωδώνης θεμέλια φύλαγμά μοι γενήσεταί; ὅ ἐστι, ποία πόλις δεξαμένη με σώσει; μνὰ] Σεμνὰ βάθρα λέγει, ἤγουν σεβάσμια, διὰ τὸ ἐκεῖ Διὸς ἱερὸν καὶ τὴν λαλοῦσαν ν, καὶ μαντευομένην. "Δωδώνης] Δωδώνη τόπος Λευκάδος πλησίον τοῦ αἰγιαλοῦ· Ὅπου τὰ σεμνὰ τῆς Δωδώνης θεμέλια. Δωδώνα γὰρ ἐγγὺς, Θεσπρωτείας, ἐν ᾗ Διὸς ἐστιν ἱερόν." 997. Ἔρυμα] Φυλακὴ καὶ ἀσφάλεια κατὰ τὴν ὁδόν.

* Δρυνόπολιν] Margo cod. Leid. Ἀδριανούπολιν. *Beck.*

usitatæ formæ leguntur, et ap. Eu-
ne semel quidem ἀπαλλαγεὶς aut ἀ-
αγῆναι occurrit, ἀπαλλαχθεὶς sæpis-
, v. omnino V.
καλλαχθεὶς D. ut et Br. recte edidit.
embr. ἀπαλλαγείς. *Beck.*
αλλαχθεὶς] Ita novem MSS. Ed. Ald.
λαγείς. *Musg.*
8. Rectius omissus fuisset hic versus,
e Valck. et Schol. cod. Aug. *Beck.*
9. Valck. observat, legi etiam posse:
ν φθάσωμεν, *quodsi ipsum prævene-*
. Structuram verbi φθάνειν cum ac-
ivo, etiam cum participio alius ver-
lustrat. *Beck.*
1. ποῦ J. ξένον Cant. M. R. *Por.*
κοῦν] Τοιγαροῦν, λοιπόν significat *igitur,*
n *igitur.* *Barnes.*
pro σὲ habet D. *Beck.*
4. Post περάσας addunt φεῦγε pleri-
que MSS. cum Aldo. Omittunt πάτερ Grot. C. K. L. Leid. sec. Sed melior videtur Canteri conjectura, ut φεῦγε omittatur; Cant. enim ex recensione tantum addit. ποῖ pro Aldino πῆ plures MSS. *Por.*

Δελφοὺς περάσας φεῦγε. M. ποῖ με χρὴ μολεῖν] Ita hunc versum ex MS. toties laudati auctoritate restituo; cum ante hæc legebatur Δελφοῦς περάσας φεῦγε· πῆ με χρὴ, πάτερ, μολεῖν. *Scaliger* quidem recte τὸ φεῦγε (quod *Canterus* rejecerat Novar. Lection. 1. 4. c. 1.) retinet, et τὸ πάτερ delet, ut et MS. *Barnes.*

Editi veteres:

Δελφοὺς περάσας φεῦγε. M. ποῖ με χρὴ, πάτερ, μολεῖν;

Recentiores, cum bona parte MSS. omittunt πάτερ. Sed multo elegantius est

ΚΡ. Πόμπιμος ὁ δαίμων. ΜΕ. Χρημάτων δὲ τίς πόρος;
ΚΡ. Ἐγὼ πορεύσω χρυσόν. ΜΕ. Εὖ λέγεις, πάτερ.
Χώρει νυν, ὡς σὴν πρὸς κασιγνήτην μολὼν,
Ἧς πρῶτα μαστὸν εἵλκυσ', Ἰοκάστην λέγω,
Μητρὸς στερηθεὶς, ὀρφανός τ' ἀποζυγεὶς,

Cre. Deus te comitabitur. *Me.* Unde vero erit copia pecuniæ?
Cre. Ego submittam aurum. *Me.* Bene dicis, pater.
Vade igitur, ut vadens ad tuam sororem,
Cujus primum ubera traxi, Jocasten dico,
Cum essem privatus matre, et avulsus ab ea orphanus,

P. σεται; ὁδηγήσει σε ἡ τύχη. χρημάτων δὲ τίς εὐπορία; ἐγὼ πέμψω χρυσόν. καλῶς λέγεις, ὦ πάτερ. ἀπέρχου δή. πρὸς τὴν σὴν κασιγνήτην Ἰοκάστην ἐλθὼν, ἧς τινος κατάρχας τὸν μαστὸν ἐθήλασα, τῆς μητρὸς στερηθεὶς, καὶ ὀρφανὸς γενόμενος, προσαγορεύων ἐκείνην, καὶ συνταξόμενος, ἀπελεύσομαι, διατηρήσων τὴν ἐμαυτοῦ ζωήν. ἀλλ' εἶα, σπεῦσον,

S. 998. "Πόμπιμος ὁ Δαίμων] Ὁ ἐνταῦθα θεὸς Ζεὺς παραπέμψει σε, χρησμῷ δηλώσας δηλονό-"τι, ὅπου δέοι σταλέντα σε σωθῆναι." Πόμπιμος ὁ δαίμων] Ὁδηγὸς ὁ θεὸς, ὁ Ζεὺς δηλονότι διὰ τῶν αὐτοῦ χρησμῶν. "Χρημάτων δὲ τίς πόρος; Πόθεν ἕξω τὰ ἀναγκαῖα ἐφόδια;" 999. "Ἐγὼ πορεύσω] Σύν σοι ἀποπέμψω, ἀποστελῶ." 1000. "Ὡς σὴν πρὸς] Πρὸς "τὴν σὴν ἀδελφὴν ἀπελθών· πλεονάζει γὰρ τὸ Ὡς. Πρῶτον φησὶ πρὸς σὴν ἀδελφὴν "βούλομαι ἀπελθεῖν, ἥτις με ἔθρεψε στερηθέντα μητρός." Ἄλλως. Ἐκ παραλλήλου, ἡ ἢ εἷς περιττή. 1002. Μητρὸς στερηθεὶς] Ἐναντίως ἱστορεῖ Σοφοκλῆς. μετὰ γὰρ θάνα-

omitti φεῦγε, quod sane a prima manu deesse vidi in perantiquo Codice Parisiis, quem nota B. signare soleo. Itaque, consentientibus Cantero et Valckenærio, ejeci. Pro ποῖ, quod habent MSS. Bodl. et Cantabr. Ed. Ald. πῆ. *Musg.*

πάτερ in Leid. 1. et Cant. deest. — ποῖ etiam Leidd. et Flor. Sophocles Electr. 814. νῦν δὲ ποῖ με χρὴ μολεῖν. *Valck.*

996. Θεσπρ. οὖδας] Gl. Cod. D. εἰς τὴν γῆν τὴν κοινῶς λεγομένην Δρυνόπολιν, et ad Δωδ. βάθρα adscriptum: εἰς τὸν τόπον, ἔνθα ἵδρυται ἡ σεμνὴ δωδώνη. *Beck.*

997. τί δῆτ' ἔρυμα Ald. et MSS. quod, cum secunda in ἔρυμα corripiatur, in τί δὴ τόδ' ἔρυμα mutatum vult Musgravius. Sed lenius est, quod ex Valckenærii conjectura cum Brunckio recepi. Deinde totum sermonem a 999. ad 1032. Menœceo dandum vidit Musgravius. In Aldina Creonti tribuitur χώρει νυν 1000, et totus 1004. *Por.*

Brunck. e Valck. conjectura edidit: τί δῆτα ῥῦμα — metri causa, et quia responsio sic optime convenit. *Beck.*

τί δῆτ' ἔρυμα] Valckenærius τί δῆτα ῥῦμα. Poterat melius: τί δὴ τόδ' ἔρυμα, *quæ autem tutela hoc mihi erit?* *Musg.*

ἔρυμα mediam syllabam brevem habet. —Corrigendum igitur: τί δῆτα ῥῦμά μοι γενήσεται; Voc. ῥῦμα est Eurip. Heracl. 261. Soph. Ajac. 159. *Valck.*

998. πόμπιμος ὁ δαίμων] Accipiunt interpretes, cum antiqui, tum recentiores, quasi esset προπέμψει σε ὁ δαίμων. Sed si hoc voluit Euripides, minus clare enunciavit; deinde nec responsionem satis ad Menœcei quæstionem accommodavit; denique minime necessarium erat, iter juvenis tam studiose, geographi more, describere, si alio postea mittendus esset. Sed aliud, meo judicio, in animo habuit Poëta: neque Menœceum suum Dodonam ad consulendum oraculum misit, sed ut ibi, sub Dei tutelà, vitam securus ageret. Legendum enim, ni fallor: ποίνιμος ὁ δαίμων. *Ultor, qui ibi est, Deus;* i. e. ulciscitur eos, qui asylum ejus violant. *Musg.*

999. *Præbendi suppeditandique* sensu πορίσαι frequentatur, non πορεῦσαι. Possit vulgatæ lectioni favere videri locus Aristoph. Pac. 123. at ibi πορεύσει notat *subvehet me.* Diversa quoque sunt πέρας ὁδοῦ, quod ibi legitur, et πόρος χρημάτων. Hoc indicat *rationem pecuniæ parandæ.*

Προσηγορήσων εἶμι, καὶ σώσω βίον.
Ἀλλ᾽ εἶα, χώρει, μὴ τὸ σὸν κωλυέτω.
Γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,
Κλέψας λόγοισιν, ὥσθ᾽ ἃ βούλομαι τυχεῖν·
Ὅς μ᾽ ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,

Tanquam salutaturus, ibo et vitam servabo.
Sed age, abi; ne, quod ad te attinet, tibi ipsi sis impedimento.
O mulieres, quam bene patri exemi metum,
Decipiens eum verbis, ut consequerer, quæ volo;
Qui ablegat me privans urbem *bona* fortuna,

ἄπελθε· μὴ σὺ σαυτὸν ἐμπόδιζε πρὸς τὴν σωτηρίαν. ὦ γυναῖκες, λίαν ἐπιτηδείως καὶ καλῶς ἐξέβαλον τὸν φόβον τοῦ πατρὸς, διὰ λόγων ἀπατήσας αὐτὸν, ὥστε τυχεῖν ὧν βούλομαι· ὅστις ὁ πατὴρ φυγαδεύει καὶ ὑπεξάγει τῆς πόλεως, τῆς εὐτυχίας ἀποστερῶν με καὶ τὴν πόλιν, καὶ φόβῳ δίδωσιν ἐμέ· καὶ συγγνώμης ἄξιον τὸ πρᾶγμα τῷ πατρὶ,

ων τοῦ παιδὸς ἡ μήτηρ αὐτοῦ ζῇ, ὡς ἐν Ἀντιγόνῃ φησὶ, "Καὶ μὴν ὁρῶ —— Δάμαρτα τοῦ Κρέοντος." * 1003. Προσηγορήσων εἶμι] Ἀποχαιρετίσω περὶ τοῖς κοινοῖς. καὶ σώσων βίον] Ἄλλως, σώσων τὴν πόλιν, οὐ γὰρ ὡς ὁ πατὴρ ᾤετο. 1004. Μὴ τὸ σὸν

* Sophoclis verba sunt Antig. 1194. s. qui filium intelligit Hæmona, non Menœcea. *Beck.*

ue legendum hic puto Ἔγωγε πορίσω τόν. Valck. qui hunc verbi πορίζειν n copiose illustrat. Tuetur πορεύσω esch. ad Æsch. T. II. p. 31. et exit ita, ut respondeat nostro *uebersen-*

ssentitur Prevotus Musgravio, qui ia hæc inde a verbis, εὖ λέγεις, Meeo tribuit. *Beck.*

950. Etiam verba χώρει νυν cum om-s seqq. Menœceo tribuit Brunck. unte Musgr. *Beck.*

001. Ἰοκάστης Ald. quod defendi fors posset, sed nihil opus, cum plerique oes alterum habeant. *Por.*

κάστην λέγω] Sic designare solent ragœdiis, quem intelligant, ubi paullo urius spectatoribus esse poterat. v. k.

κάστην jam recte scripserat Barn. pro quod olim perperam legebatur, Ἰοκάσ- Est etiam illud in D. mox μητρὸς *Beck.*

κάστης Aldinæ lectio est. Sed legen- Ἰοκάστην cum Lib. P. MSS. Leidens. lor. quosque viderat Editor Phœnism Oxoniensis. *Musg.*

003. πόλιν σώσων Ald. σώσων πόλιν Grot. quod agnoscit Scholiastes. βίον omnes fere MSS. sed quidam σώσω, quidam σώσων. σώζων membr. σῶσαι Cant. σῶσον J. πόλιν natum ex 1011. *Por.*

Ald. et Bas. 1. πόλιν σώσων. Bas. 2. et deinceps secutæ σώσων πόλιν. Kingium βίον in duobus MSS. invenisse dicit Valck. sed σώσω est in 2. codd. Anglicis et utroque Leid. σώσω βίον recepit V. et monet, alteram lectionem σώσω πόλιν ortam esse e v. 1011. et vel librario vel histrioni deberi.

καὶ σώσω βίον D. atque ita etiam Br. edidit. Idem ex membr. καὶ σώζων affert. Nescio, utrum eædem πόλιν an βίον habeant. *Beck.*

προσηγορήσων] Cum μολὼν jungendum est, non cum εἶμι. μολὼν προσηγορήσων, *cum primum salutatum iero*, εἶμι καὶ σώσω βίον, *ibo scilicet tum, et vitæ consulam.* σώσω pro σώσων in duobus MSS. est; βίον pro πόλιν primus edidit ex octo MSS. Kingius. Editi Vetustiores σώσων πόλιν, ut et male contextus. *Musg.*

1004. Si personarum nomina vere hic adscripta sunt, altera jam vice Creon filium, ut discessum maturaret, admonuit. Quid igitur causæ esse dicemus, cur ipse

Καὶ δειλίᾳ δίδωσι. καὶ ξυγγνωστὰ μὲν
Γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει,
Προδότην γενέσθαι πατρίδος, ἥ μ' ἐγείνατο.
Ὡς οὖν ἂν εἰδῆτ', εἶμι, καὶ σώσω πόλιν,
Ψυχήν δὲ δώσω τῆσδ' ὑπερθανεῖν χθονός.
Αἰσχρὸν γὰρ, οἱ μὲν θεσφάτων ἐλεύθεροι,
Κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,

Et ignaviæ prostituit. Sed ignoscendum est
Seni: res vero mea non meretur veniam,
Proditorem esse patriæ, quæ me genuit.
Ut igitur sciatis, vadam, et servabo urbem,
Animamque dabo, ut moriatur pro hac terra.
Turpe enim est, ut liberi quidem ab oraculis,
Et non coacti necessitate divinitus,

P. τὸ κατ' ἐμὲ δ' οὐδαμῶς συγγνώμην ἔχει, τὸ γενέσθαι προδότην τῆς πατρίδος, ἥτις ἐγέννησέ με. ἵνα οὖν γνῶτε, ἀπελεύσομαι, καὶ σώσω τὴν πόλιν· τὴν δὲ ζωὴν δώσω ὥστε ἀποθανεῖν ὑπὲρ τῆσδε τῆς χθονός. αἰσχύνης γὰρ ἄξιον, ἐὰν οἱ τῶν μαντευμάτων ἐλεύθεροι, καὶ ὑπὸ τῶν θεῶν μὴ ἀναγκαζόμενοι, οὐκ ἀναβάλλονται ἀποθανεῖν παρὰ πόλεμον στάντες, καὶ ὑπὲρ τῆς

S. κωλυέτω] Ὅσον τὸ κατὰ σὲ, μὴ γενέσθω κώλυμα. 1013. "Οἱ μὲν] Λείπει τὸ εἰ. εἰ οἱ μὲν "ἄνευ μαντείας μάχονται, οἷον ἐκτὸς, μαντείας ἀπηλλαγμένοι. ἀντὶ τοῦ οὐκ εἰς μαντείαν "καλούμενοι. αὐτὸς γὰρ ἠναγκάζετο διὰ τὴν μῆνιν τοῦ θεοῦ." 1016. Πάροιθεν] Ἔμπροσθεν. τοπικὸν ἐνταῦθα. λέγεται δὲ καὶ χρονικῶς ἐν ἄλλαις. 1020. "Μὰ τὸν μετ' ἄστρων

prius, nullo rogante aut monente, e scena discedat? Contra cum Menœcei consilium, ex poëtæ rationibus, Choro aperiendum esset, ecquid magis consentaneum, quam ut hic patrem amoliri studeat? quidve adeo aptius, quam ut hæc omnia a fine versus 1009. sub persona Menœcei continuentur? Verum hoc esse ostendit præ aliis v. 1021. qui, Creontis persona deleta, venuste inter se cohæret, cujus tamen partes, ut nunc leguntur, facile videas a se invicem divulsas esse. *Musg.*

1005. s. Expressit Statius Theb. 10, 715. *Fraude patrem tacita subit, avertitque timorem.*

ἠξεῖλον φόβω D. *Beck.*

1006. Ὥσθ' ἃ βούλομαι τυχεῖν] Ὥστε τυχεῖν ἐμὲ, ἃν βούλομαι. De hoc usu τοῦ ὥστε vide quæ nos ad *Ion.* v. 40. *Barnes.*

1007. πόλεως Ald. πόλιν MSS. plerique et Grotius. *Por.*

Πόλιν ἀποστερῶν τύχης] Ita rectissime legit MS. cum ante πόλεως male legebatur conjunctim cum ἐκκομίζει. Pro quo tamen *Scaliger* πόλιος legebat, aliquanto curatius. *Barnes.*

Vulgo erat: Ὅς ἐκκομίζει πόλεως, ἀποστ. τ. In Ald. recte erat: Ὅς μ' ἐκκομ. id recepit Grot. et jam dudum ante Barn. e codd. Paris. vulgavit: πόλιν ἀπ. τ. ita etiam in Leid. 2. Cod. Flor. Ὅς μ' ἐκκομίζει, ἀποστερῶν πόλιν τύχης. Valck. Reisk. ita distingui vult: Ὅς μ' ἐκκομίζει πόλεως, *me ex urbe effert, ablegat,* ἀποστερῶν τύχης, nempe aut a communi, τῆς πόλεως, aut τῆς ἐμῆς. *Beck.*

πόλιν] Ita MSS. Bodl. Cantab. Leid. et Grot. Ed. Ald. πόλεως. *Musg.*

1008. Συγγνωστὰ μὲν] *Attice* pro συγγνωστόν. Vid. *Hippolyt.* v. 373. Præcipue autem ad *Herc.* Fur. v. 584. *Barnes.*

Valck. conjicit: Κεἰ συγγνωστὰ μὲν Γέροντι, τοὐμὸν οὐχὶ συγγνώμην ἔχει, *et, si vel metus* in patre *senilis veniam meretur excusationis, mihi certe prorsus ignosci non poterit.* Κεἰ sæpe in καὶ abiit.

Brunck. ex ingenio reposuit: καὶ δειλίᾳ δίδωσιν. ἣ συγγν. μ. — quod alterum καὶ invenustum sit. Verbo δίδωσι in D., ut in membr., superscr. ἐμὲ, quam pravam esse interpretationem Br. ostendit, subintelligi ἑαυτόν. *Beck.*

Στάντες παρ' ἀσπίδ' οὐκ ὀκνήσουσιν θανεῖν,
Πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ·
Ἐγὼ δὲ πατέρα καὶ κασίγνητον προδοὺς,
Πόλιν τ' ἐμαυτοῦ, δειλὸς ὣς, ἔξω χθονὸς
Ἄπειμ'· ὅπου δ' ἂν ζῶ, κακὸς φανήσομαι.
Μὰ τὸν μετ' ἄστρων Ζῆν, Ἄρην τε φοίνιον,
Ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ

Stantes ad clypeos, non detrectent mori,
Pugnantes pro patria ante turres:
Ego vero patrem et fratrem prodens,
Et urbem meam, tanquam timidus, ex terra
Discedam: ubicunque enim vixero, videbor ignavus.
Non per Jovem, qui est in astris, et Martem cædium autorem,
Qui exortos e terra quondam

ιτρίδος ἔμπροσθεν τῶν πύργων μαχόμενοι· ἐγὼ δὲ, πατέρα καὶ ἀδελφὸν προδοὺς, καὶ πόλιν ν ἐμαυτοῦ, ὡς ἄνανδρος, ἔξω τῆς χθονὸς ἀπελεύσομαι, καὶ ὅπου ἂν ζῶ, κακότροπος φανήμαι. οὐ ποιήσω τοῦτο, μὰ τὸν μετ' ἄστρων Ζῆνα, τὸν Ἥλιον φησὶ, καὶ τὸν Ἄρη, τὸν ριον τοῦ ἐμοῦ φόνου, ὅστις τοὺς ἀναδοθέντας ποτὲ ἐκ τῆς γῆς σπαρτοὺς, δεσπότας καὶ

Ζῆν'] Τὸν ἥλιον φασὶ δεσπότην τῶν ἄστρων, τὸν ὄντα ἐν τοῖς ἄστροις θέον." "Ἄρη τε φοίνιον] Τὸν αἴτιον τοῦ ἐμοῦ φόνου· ὁ γὰρ Ἄρης αἴτιος τῶν σπαρτῶν, δράκοντα καταστήσας αὐτόθι φύλακα τῆς κρήνης, ἐξ οὗ τῶν ὀδόντων οἱ σπαρτοί." 1021. Ὃς τοὺς ὑπερλαντας ἐκ γαίας] Ἐν Θήβαις ταῖς ἑπταπύλοις τῆς Βοιωτίας λέγεται ὅτι Κάδμος ἢ ἀλ-

12. ψυχήν τε MSS. quidam. *Por.*
χήν δε δώσω D. ut et ex membr. edi-
Br. Mox etiam in iisdem libris est θανεῖν, ut et Br. habet. *Beck.*
ing. e suis codd. quibus accedunt ld. et Flor. recte edidit: ψυχήν τε pro ψ. δὲ δ. Quod hic ὑπερθανεῖν, nius de eodem Menœceo T. I. p. 171. lixit προαπελθεῖν πατρίδος (πρὸ enim libus verbis pro ὑπὲρ usurpatur), sed θανεῖν retinuit Gregor. Naz. Carm. . 18, 675. *Valck.*
13. οἱ μὲν Ald. et major pars codi-. εἰ μὲν Grot. cum aliis. *Por.*
μὲν θεσφ. ἐλ. D. *Beck.*
μὲν] Ita MSS. Bodl. et Cantab. cum Ald. Recentiores Editi εἰ μέν. *Musg.*
μὲν etiam codd. Leidd. et scholion Cant. Omissa particula εἰ juvenis ri convenit. *Valck.*
015. Ὀκνήσουσι] Addendum est τὸ ν ne, vel vis τοῦ θ sit ἐκτατική. Vide nos ad *Orest.* v. 1550. *Barnes.*
κνήσουσι D. *Beck.*
016. πατρίδος MSS. duo. *Por.*
πάροιθεν D. *Beck.*

1018. Vir quidam doctus conjecit δοῦλος ὡς, ut v. 637. sed dissimilia hæc sunt. δειλοὶ ap. Hom. et reliquos poëtas dicuntur homines nullius pretii et improbi — v. Valcken.
ὡς non ὣς habet D. *Beck.*
1020. οὐ μὰ τὸν Ald. et codices nonnulli, Kingius ex K. οὐ τὸν, sed μὰ τὸν plures cum Plutarcho T. II. p. 23. B. Deinde Ἄρην τε φόνιον Ald. illud recte. *Por.*
Οὐ τὸν Leid. 2. sed Μὰ τὸν Leid. 1. Flor. et Plutarch. de Aud. poët. p. 23. B. Sententiam in Μὰ τὸν imperfectam ita supplet schol. marg. cod. Leid. 2. οὐ ποιήσω τοῦτο. *Hoc equidem, ita me Jupiter amet, non faciam, sed abeo* — (Heathius sic putat integram, fore constructionem: μὰ τὸν Ζῆνα οὐ φανήσομαι κακὸς, ἀλλ' ἄπειμι, et laudat Arist. Plut. 100. s.) Οὐ interdum adhibetur a jurantibus quarto casui junctum, sed Euripides in senariis ubique negantibus aliquid cum jurejurando tribuit μὰ, vel οὐ μὰ — v. Valck. Reisk. vel legi οὐ μὰ τὸν ἐν ἄστροις Ζῆνα, vel etiam retineri lectionem ed. Aldinæ οὐ μὰ τὸν μετ' ἄστρων jubet; posse enim οὐ aut extra versum

Σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
Ἀλλ' εἶμι, καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων
Σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
Δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο,
Ἐλευθερώσω γαῖαν· εἴρηται λόγος.
Στείχω δὲ, θανάτῳ δῶρον οὐκ αἰσχρὸν πόλει

Spartos reges hujus terræ constituit.
Sed abibo; et stans in murorum pinnis summis
Interficiens me ipsum in atrum specum
Draconis, ubi vates jussit,
Liberabo terram: dicta est sententia.
Vado autem, donum mortis non turpe urbi

P. βασιλεῖς τῆσδε τῆς γῆς κατεστήσατο, ἀλλ' ἀπελεύσομαι, καὶ στὰς ἐκ τοῦ ἄκρου τῶν ἐπάλξεων, καὶ σφάξας ἐμαυτὸν εἰς τὴν θαλάμην τὴν σκοτεινὴν τοῦ δράκοντος, ὅπου ὁ Τειρεσίας διηγήσατο καὶ παρῄνεσε φονευθῆναι, ἐλευθερώσω τὴν γῆν· ἐλέχθη ὁ λόγος· ἀπέρχομαι

S. λος τὶς, λαβὼν τοὺς τοῦ Δελφικοῦ δράκοντος ὀδόντας, ἔσπειρεν εἰς τὴν γῆν· (ἢ ἐνέσπειρεν·) Καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες· ἀνεδόθησαν δὲ ἀπὸ μηρῶν μέχρι τῶν ἄνω, καὶ οὕτως ἱστάμενοι ἐπολέμουν ἀλλήλοις καὶ τοῖς ἄλλοις. 1022. Σπαρτοὺς] Ἐχίων εἷς τῶν Σπαρτῶν Ἀγαυὴν τὴν Κάδμου θυγατέρα ἐγάμησε. λέγει οὖν ἄνακτας τῆσδε τῆς γῆς τοὺς Σπαρτοὺς, οὐ κυρίως, ἀλλὰ καταχρηστικῶς· εἰ γὰρ πρῶτος μὲν βασιλεὺς Κάδμος, μετ' ἐκεῖνον δὲ Πολύδωρος, ἔπειτα Λάβδακος, καὶ τέταρτος Λάϊος, ὕστερον δὲ Οἰδίπους, καὶ οἱ παῖδες ἐκείνου, τίν' ἔχει λόγον τοὺς Σπαρτοὺς ἄνακτας τῆσδε καλεῖν τῆς γῆς; Ἱδρύσατο] Παραγαγὼν δηλονότι· εἰ μὴ γὰρ παρήχθησαν, οὐδ' * ἂν ἄνακτες ἐγένοντο· ὁ Ἄρης δὲ ἦν αἴτιος τῆς παραγωγῆς αὐτῶν, τὸν δράκοντα καταστήσας αὐτόθι φύλακα, ἀφ' οὗ αὐτοὶ γεγόνασιν. 1023. Ἀλλ' εἶμι] Οὐκ ἐκφεύξομαι, ἀλλ' εἶμι πρὸς θάνατον ἐξ ἐπάλξεων ἄκρων. Ἐξ ἐπάλξεων] Ἐνταῦθα γὰρ ἦν ὁ σηκὸς τοῦ δράκοντος. 1024. Σφάξας ἐμαυτὸν] Σωσιφάνης ὁ τραγικὸς † ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοίκεα, Νικόστρατος δὲ, ὑπὸ τῆς Σφιγγός. Εἰς τὸν σηκὸν σφάξας

* Ἂν omittit Cod. D. *Beck.*

† Ὑπὸ τοῦ Λαΐου] Ὑπὸ τοῦ λαοῦ Aug. non absurde, monente Valck. *Beck.*

pronunciari, aut præcedentis versus fini adjungi, tanquam si esset *κείσομ' οὐ*, insolens esse *μετ' ἄστρων* pro *μεταξὺ ἄ.* sed hoc ipsum *μεταξὺ* et vocem *μεταπύργιον* ostendere, *μετὰ* interdum adhibitum esse pro *ἐν, ἐν μέσῳ.*

Ἄρη τε φοίνιον pro *Ἄρην τε φόνιον* Valck. edidit e Plutarch. T. II. p. 23. B. et Leid. 1. atque formam (*Ἄρη*) Tragicis usitatam fuisse docet.

οὐ. μὰ τὸν D. et supra: *οὐ ποιήσω τοῦτο δηλονότι.* Sed in membr. *οὐ* non est, omisitque etiam Br. Mox pro *φοίνιον* D. *φόνιον* exhibet. *Beck.*

Legendum vel cum plerisque MSS. *μὰ τὸν*, vel, quod malim, cum Aldina *οὐ μὰ τὸν*, ut *οὐ* extra versum sit. Male Kingius ex MS. Reg. Soc. *οὐ τόν.* *Musg.*

1021. *γαίης* membr. *Beck.*

1022. Post *Σπαρτοὺς* in D. comma ponitur. *Beck.*

1023. *ἐξ ἄκρων ἐπάλξεων* Brunckius ex conjectura. et supra 1009. *ἐδάφεσιν· ἢ ξ.* utrumque male. *Por.*

1024. Sic Aldus et codicum pars. Alii *μελεμβαθῆ, μελαμβαφῆ, μελεμβαφῆ.* *Por.*

In Leidd. 2. Flor. et Cant. *μελαμβαφῆ.* Id probat Reisk. At vulgata *μελαμβαθῆ* multo accommodatior hic videtur, nititurque auctoritate Æsch. Prom. 219. et Apoll. Rh. 4, 517. qui hac voc. usurparunt *Μελαμβαφὲς* qui veterum hoc usu posuerint neminem novi. Nam in fr. Sophoclis ap. Porph. in Stob. Ecl. Phys. p. 129. pro *μελαμβαθεῖς* corrigendum *μελαμφαεῖς*, atque ita forsan hic legendum *σηκὸν ἐς μελαμφαῆ.* Proprio significatu pro *μέλαν ἐκ βαφῆς* occurrit hoc vocab.

Δώσων, νόσου δὲ τήνδ' ἀπαλλάξω χθόνα.
Εἰ γὰρ λαβὼν ἕκαστος ὅ, τι δύναιτό τις
Χρηστὸν, διέλθοι τοῦτο, κεὶς κοινὸν φέροι
Πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
Πειρώμεναι, τὸ λοιπὸν εὐτυχοῖεν ἄν.
ΧΟ. Ἔβας, ἔβας, ὦ πτεροῦσσα, γᾶς λόχευμα, στροφή.

Daturus, liberaturus autem patriam hanc a malo.
Utinam enim accipiens unusquisque quodcunque possit
Bonum, hoc consequatur, et in commune conferat
Patriæ : civitates minora mala
Experientes, in posterum beatæ essent.
Cho. Advenisti, advenisti, o alata, terræ partus,

διὰ τοῦ ἐμοῦ θανάτου δῶρον οὐκ ἀπρεπὲς τῇ πατρίδι δώσων, καὶ τοῦ κινδύνου ταύτην ἐλευθερώσων. εἰ γὰρ ἕκαστός τις ὅ, τι ἂν δύναιτο χρηστὸν λαβὼν τοῦτο γυμνάσαιτο καὶ τῇ πατρίδι φέροι εἰς μέσον, πάντως αἱ πόλεις ἂν κατὰ τὸ ἔμπροσθεν εὐτύχοιεν, πεῖραν λαμβάνουσαι, ἀπολαύουσαι, βλαβῶν ἐλαττόνων, ἣ νῦν δηλονότι πειρῶνται. ΧΟ. Ἦλθες, ἦλθες.

...αυτὸν ἀπὸ τῶν τειχέων] Ὡς τοῦ σηκοῦ πλησίον τοῦ τείχους ὄντος. "Διαφέρει σηκὸς καὶ ἄδυτον· ὁ μὲν γὰρ Σηκὸς ἐπὶ τάφου τοῦ ἀνθρώπου· τὸ δὲ Ἄδυτον ἐπὶ θεοῦ. Ἄλλως. Ση...; ἔνθα ἱδρύετο τὸ ἄγαλμα· λέγεται σηκὸς καὶ ἔνθα ἐγκλείουσιν νομεῖς τὰ νεογνά. ὅταν τὰς ...τέρας αὐτῶν ἀμέλγωσιν, ἢ εἰς νομὸν ἐκπέμπωσιν, ἀφ' οὗ ἐνταῦθα σηκὸς, ὁ φωλεός. ...25. Ἔνθ' ὁ μ. ἐξηγήσατο] Ὅπου ὁ μάντις ἐξηγήσατο, εἶπε γὰρ, "Δεῖ τόνδε θαλάμαις, δράκων ὁ γηγενὴς Ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος, Σφαγέντα φόνιον αἷμα γῇ δοῦναι ...ς. 1027. "Στείχω δὲ θανάτου] Λείπει ἡ Διὰ θανάτου μου δῶρον τῇ πόλει παρέξω οὐκ αἰσχρόν. 1029. Εἰ γὰρ λαβὼν] Εἰ γὰρ, φησὶν, ἕκαστος ὃ μετὰ δύναμιν εἶχεν ἀγαθὸν εἰσέφερε τῇ πατρίδι, ἐκτὸς ἦσαν ἂν κακῶν αἱ πόλεις πᾶσαι. 1030. Χρηστὸν ...έλθοι] Μεταχειρίζοιτο καὶ εἰς μέσον φέροι." 1033. Ἔβας ἔβας] Πρὸς οὐδὲν ταῦτα. ἔδει ...τὸν χορὸν οἰκτίσασθαι διὰ τὸν θάνατον Μενοικέως, ἢ ἀποδέχεσθαι τὴν εὐψυχίαν τοῦ ...νίσκου. ἀλλὰ τὸ περὶ Οἰδίπουν καὶ τὴν Σφίγγα διηγοῦντας, τὰ πολλάκις εἰρημένα. ...ας, ἔβας] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται, ὡς εἴρηται, κατὰ σχέσιν· ἔστι δὲ τὸ

...λαμβαφῆ D. cum gl. τὸν μέλανα, τὸν ...νόν. Paullo ante Brunck. scripsit ἐξ...ἀπάλξεων, ut concinnior versus fie... De μελαμβαθῆ cf. Brunck. ad Æsch. ... 219. *Beck.*

...27. Sic e Bodleianis Kingius, et sic ...enses, C.D.L. Aldus, θανάτου. *Por.* ...άτῳ D. In membr. θανάτου. Br. ...ι θανάτῳ scripsit. *Beck.*

...άτου] Ita cum Ed. Ald. MS. B. et Editi recentiores θανάτῳ, quod mi... placet. *Musg.*

...ck. cum Kingio recepit θανάτῳ, ...ille videtur in Angl. codd. reperisse, ...tque etiam in Leidd. 2., in altero ta... superscriptum. θανάτου, θανάτῳ et ...ν per se hic ferri possunt. *Valck.*

...28. ἀπαλλάξων MSS. nonnulli. *Por.*

...παλλάξω] *Scaliger* legit ἀπαλλάξων, sicut δώσων prius, sed nobiscum stat MS. C.C.C. *Barnes.*

ἀπαλλάξαι membr. *Beck.*

ἀπαλλάξων] Ita duo MSS. in Ed. Burton. citati. Editi omnes ἀπαλλάξω. *Musg.*

1029—1032. Leguntur ap. Stob. Tit. XLI. περὶ πολιτ. Abusus est forte hac Euripidei Menœcei sententia Socratis accusator. v. Epist. Socr. 14. p. 32.—V. 1030. Leid. 2. διέλθῃ. Valcken. διέρχεσθαι hic valere *persequi* contra King. monet Heath. *Beck.*

1032. πειρώμεναι] Gl. Cod. D. πεῖραν λαμβάνουσαι, ἀπολαύουσαι. Mox εὐτυχεῖεν D. *Beck.*

1033. Hic et 1057. πτεροῦσα Ald. et MSS. nisi quod hic πτερόεσσα habet J. *Por.*

Νερτέρου τ' ἐχίδνας,
Καδμείαν ἁρπαγὰ,
Πολύφθορος, πολύστονος,
Μιξοπάρθενος, δάϊον τέρας,
Φοιτάσι πτεροῖς·

Infernæque Echidnæ,
Cadmeorum prædatrix,
Multis perniciosa, gemituum autor,
Mixta virgo, hostile monstrum,
Furiosis alis;

P. θες, ὦ πτερόεσσα Σφὶγξ, γέννημα μὲν τῆς τῶν Θηβαίων γῆς, ἐνταῦθα γὰρ ἐγεννήθης, λόχευμα δὲ τοῦ Τυφῶνος, καὶ τῆς καταχθονίου Ἐχίδνης, ἐπὶ ἁρπαγῇ τῶν Θηβαίων, πολλῶν στεναγμῶν αἰτία, πολύφθορε, μιξοπάρθενε, ἔχεις γὰρ τὰ μὲν παρθένου, τὰ δὲ θηρὸς,

S. ᾆσμα στροφῆς μιᾶς, εἰσὶ δὲ τὰ κῶλα τῆς στροφῆς κδ'. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. Τὸ α' σύνθετον, ἤτοι ἀσυνάρτητον, ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου. ἥνωσε δὲ ταῦτα ἐνταῦθα, ὡς ἐμοὶ δοκεῖ δυοῖν ἕνεκα, κινήσεως φημὶ καὶ στάσεως· ὡς μὲν γὰρ ἐξ ὄρους φοιτώσης τῆς Σφιγγὸς τῷ τροχαϊκῷ ἐχρήσατο μέτρῳ, ὡς δ' ἐν τοῖς τείχεσι καθημένης καὶ φθεγγομένης, ὅπερ στάσεώς ἐστι, τῷ ἰαμβικῷ· καὶ ἐν τοῖς ἑξῆς δὲ τούτοις τοῖς μέτροις διῃρημένως ἐχρήσατο. Τὸ β' τροχαϊκὸν ἰθυφαλλικὸν, ἤτοι δίμετρον βραχυκατάληκτον. Τὸ γ' ἀντισπαστικὸν ἡμιόλιον, ἐκ δισπονδείου, καὶ ἡμίσεως ἀντισπάστου, ἤτοι ἰάμβου. Τὸ δ' ἰαμβικὸν καθαρὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' σύνθετον ἐκ δύο τροχαϊκῶν πενθημιμερῶν· εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ διτροχαίου, ἐπιτρίτου γ' καὶ ἰάμβου, ἢ πυῤῥιχίου. MS. Baroc. 74. Τὸ ς' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον, ἐκ διτροχαίου, ἐπιτρίτου δ', καὶ συλλαβῆς. Τὸ ζ' ὅμοιον ἐξ ἐπιτρίτου α', δ', καὶ συλλαβῆς. Τὸ η' ἰαμβικὸν ἑφθημιμερές. Τὸ θ' καὶ ι' ἰθυφαλλικὰ, τοῦ α' ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὰ δίμετρα καταληκτικὰ, ἐκ παίωνος δ', καὶ ἀμφιβράχεος. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἐκ δ' χορείων. Τὸ ιβ' ὅμοιον ἑφθημιμερὲς Εὐριπίδειον

πτεροῦσα in Edd. et codd. plerisque, sed. cum duplici σ talia scribi debere, ab adjectivis in — όεις ducta et ex όεσσα contracta, docent Arnald. Obs. M. VI. p. 596. et Valck. ad h. l. — Cæterum Eurip. peccavit in hoc choro, (ut plerique ejus chori vitiosi sunt) quod, cum deberet dolere mortem Menœcei, aut ejus fortitudinem admirari, hoc fere prætermitteret. v. Valck. Etiam Morus p. 13. ss. reprehendit hanc oden, fabulam illam, etiamsi hic non tractata fuerit, ad fastidium usque jam per omnia hujus tragœdiæ loca sparsam fuisse, monet; posse quidem ita superioribus hæc annecti: de primis Thebarum miseriis a Sphingis crudelitate ortis dici, tum de urbis sospitatore Œdipo, qui idem multarum miseriarum auctor fuerit; ideoque eum, qui per omnes ætates vexatæ civitati succurrat, admirandum videri; sed vel sic antiquam urbis historiam alieniorem hic esse, ubi id, quod summum est, postponatur; debuisse Euripidem potius illa, quæ v. 1075. addidit (Γενοίμεθ' ὧδε ματέρες, γενοίμεθ' εὔτεκνοι,) copiosius tractare. *Beck.*

1034—1036. In duo versus disponit atque ita exhibet D.:

νερτέρου τ' ἐχ. καδμείων
ἁρπαγή. πολύστονος, πολύμοχθος.

Vocabulo ἁρπαγὴ tamen superscr. ἰωι. In v. 1036. verborum ordinem invertit Br. ed., πολύφθορος, πολύστονος. *Beck.*

1035. ἁρπαγᾷ Ald. et MSS. Cum Musgravio ἁρπαγὰ prætuli. *Por.*

ἁρπαγᾷ] Legendum haud dubie ἁρπαγὰ casu recto. Dicitur autem ἁρπαγὰ *rapina*, plane, ut Pericles apud Thucyd. II. 41. Athenas Ἑλλάδος παίδευσιν dixit, i. e. παιδευτρίαν.

Καδμείων ἁρπαγὰ si sine epitheto positum concipias, non potest non perfrigidum videri. Voluit auctor, ni falsus sum,

Χαλαῖσί τ' ὠμοσίτοις·
Διρκαίων ἅ ποτ' ἐκ
Τόπων νέους πεδαίρουσ'
Ἄλυρον ἀμφὶ μοῦσαν,
Ὀλομέναν τ' Ἐριννὺν,

Unguibusque crudivoris:
Quæ quondam ex Dircæis
Locis adolescentes attollens
Absono cum carmine,
Et perniciosis furiis,

καὶ παραδόξου φύσεως, φονικὸν τέρας, τοῖς τε φοιταλέοις καὶ μανικοῖς πτεροῖς, καὶ τοῖς
οῖς ὠμὰ τὰ κρέα ἁρπάζουσι πρὸς σίτησιν. ἥτις πεδαίρουσα τοὺς νέους, ἀπὸ τῆς γῆς
ος αἴρουσα ποτὲ ἐκ τῶν τόπων τῆς Δίρκης, περιῆγες καὶ περιέφερες ἄναυλον καὶ

καὶ β' ποδὸς χορείου. Τὸ ιγ' τροχαϊκὸν ἰθυφαλλικὸν καθαρόν. Τὸ ιδ' καὶ ιε' ἰαμβι-
οια τῷ δ'. Τὸ ις' ὅμοιον τῷ ιγ'. Τὸ ιζ' καὶ ιη', ὅμοια τῷ δ' ἰαμβικά· ἐλλιπῆ δὲ
ὰ κῶλα πρὸς τὰ τῆς ἀντιστροφῆς ἀνεπληρώθη παρ' ἐμοῦ ὁμοίαις λέξεσι. Τὸ ιθ' τρο-
καθαρὸν δίμετρον ἀκατάληκτον. Τὸ κ' τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ α' ποδὸς χορείου.
ἰθυφαλλικόν. MS. Baroc. 74. Τὸ κϛ' ἰωνικὸν δίμετρον ἀκατάληκτον· ἐξ ἐπιτρίτου
παίωνος δ' (lege α') τὸ τῆς στροφῆς δὲ κῶλον πεντασύλλαβον ἔχει τὸν ἐπίτριτον.
ἰωνικὸν δίμετρον καταληκτικόν· ἐκ παίωνος β', καὶ κρητικοῦ. τὸ τῆς στροφῆς δὲ
ἐν μὲν τῷ α' ποδὶ, συνίζησιν ἔχει· ἐν δὲ τῷ ϛ', ἀντὶ κρητικοῦ, ἀμφιβράχυν. Τὸ
οχαϊκὸν τρίμετρον βραχυκατάληκτον· ἐπὶ τῷ τέλει μὲν τῆς στροφῆς παράγραφος,
ἀντιστροφῆς κορωνὶς μόνη. Totum hoc de metro ex MS. Baroc. 74. 1042.
ν] Ἄλυρον μοῖσαν, τὸν θρῆνον, παρόσον πρὸς αὐλὸν, οὐχὶ πρὸς λύραν, ᾖδοντο οἱ θρῆ-
ραν Ἀπόλλωνος νομιζομένην· ἀπενθὴς δὲ θεὸς ὁ Ἀπόλλων. Αἰσχύλος, "Τί ταῦτ'
ωξας ἀμφὶ Λοξίου, Οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν." ἡ ἀμφὶ δὲ πρὸς τὸ ἔφε-
περιέφερες ᾠδὴν, λέγει δὲ τὸ αἴνιγμα. 1043. Ἐριννὺν] Ἐριννὺς, ἡ κατάρα, καὶ ἀπὸ

tructione conjungi, ὦ πτεροῦσσα
ἁρπαγά. *Musg.*
πολύστονος, πολύφθορος Ald. πο-
πολύστονος codices non pauci;
ος, πολύμοχθος ex aliis contra me-
lidit Valckenærius, et postea ex
μιξοπάρθενον, male. *Por.*
edidit: Πολύφθορος, πολύστονος.
ck. lectione versus erit iambicus
catalecticus, cui, si tollas unicam
litteram, auctore Valck, respon-
Antistr. τότ' ἄσμενος, πάλιν ἄχη.
Beck.
B. et Ask. ut edidi. In Aldina
ine inverso, πολύστονος, πολύφθο-
SS. alii, quos sequitur Valckenæ-
λύστονος, πολύμοχθος. *Musg.*
Pro vulg. Μιξοπάρθενον δάϊον τέρας
sic emendavit, auctoritate cod.
ιξοπάρθενον δάϊον τέρας. Scribi e-
sset: Μιξοπαρθένου δάϊον τέρας. Ab
oque Sphinx μιξοπάρθενος dicitur.

v. Valck. Hesych. Δάϊον τέρας· τὸ πολεμικὸν σημεῖον. *Beck.*

1038. φοιτᾶσι Ald. et edd. pleræque. Recte φοιτάσι Brunckius, quod habent C. J. L. φοιτῶσι M. et ά pro v. l. suprascriptum. Vide ad Orest. 264. et adde Herc. F. 177. γίγασι πλευροῖς. *Por.*

1038. s. In unum versum jungit D. Brunck. disposuit ita:

φοιτάσι πτ. χαλ. τ' ὠ-
μοσ. Διρκ. ἅ ποτ' ἐκ
τόπ. νέους πεδαίρουσ'
ἄλ. ἀ. μ.

In D. verba Διρκ. — νέους unum, et πεδ. μοῦσαν alterum versum efficiunt. *Beck.*

1038. ss. Ita distinxit Valck. secutus Kingium:

Φοιτᾶσι πτεροῖς, χαλαῖσί τ' ὠ-
μοσίτοις. Διρκαίων ἅ ποτ' ἐκ

Ἔφερες, ἔφερες ἄχεα πατρίδι
Φόνια· φόνιος ἐκ θεῶν,
Ὃς τάδ' ἦν ὁ πράξας.
Ἰάλεμοι δὲ ματέρων,
Ἰάλεμοι δὲ παρθένων
Ἐστέναζον οἴκοις·

Attulisti, attulisti dolores patriæ
Cruentos. Cruentus *profecto ille* ex diis,
Quicunque hæc fecit.
Luctus autem matrum
Luctus etiam virginum
Resonabant *in* ædibus,

P. ἀνήδονον ᾠδὴν, λέγω φόνους καὶ λύπας ταῖς Θήβαις. ὁ ἐκ θεῶν ταῦτα πράξας, αὐτὸς φόνιος ἦν. αἱ δὲ ἰάλεμοι τῶν παρθένων, καὶ τῶν μητέρων, ἐστέναζον ἐν τοῖς οἴκοις, πυθοῦσαι

S. τούτου Ἐριννύες, αἱ ἔφοροι τῶν καταρῶν θεαὶ παρ' Ἕλλησιν· ἐνταῦθα δὲ Ἐριννὺν οὐ τὴν κατάραν λέγει, οὐδὲ τὴν ἔφορον τῶν καταρῶν θεὰν, ἀλλὰ τὰ δάκρυα καὶ τοὺς φόνους οὕτω φησὶν κατὰ μεταφορὰν, ἐπεὶ ἀπὸ τῶν καταρῶν ἐνίοτε καὶ δάκρυα καὶ φόνοι συμβαίνουσιν.

τόπων νέους πεδαίρουσ'
ἄλυρον ἀμφὶ μοῦσαν —

Perperam, auctore Heath. King. scripsit, primum versuum 1038. et 1063. pedem esse epitritum quartum, cum revera ditrochæus sit. φοιτάσι enim et καλλίνικος secundam corripiunt, nec debebat circumflexo notari vox φοιτᾶσι. Versus illi sunt asynarteti ex penthemimeri trochaica et basi iambica, s. penthemimeri iambica catalecta. *Heath.*

1041. Πεδαίρουσα] Πεδαίρειν verbum est Poëticum, idem valens, ac ἐκ πέδου αἴρειν, *ex solo tollere, humo tollere, attollere*; vel etiam pro μεταίρειν: πέδα enim pro μετὰ, *Æolice.* Vid. ad *Rhes.* v. 372. *Barnes.*

1042. Ἄλυρος μοῦσα est *carmen triste* Sphingis. ἄλυρος sæpe est *lugubris.* — πεδαίρειν est verbum Æolicum ab Eurip. et Soph. tantum in choris et trochaicis versibus adhibitum, sed Æschylus nec in senariis a formis Æolicis abstinuit. v. Valck. *Beck.*

ἀμφὶ μοῦσαν] Pind. Olymp. X. Epod. 4. ἀείδετο πᾶν τέμενος τὸν ἐγκώμιον ἀμφὶ τρόπον. Vide et Olymp. IX. Antistr. 4. Nonnus: τετάρσιον ἀμφὶ χορείην. Lib. XXXVI. p. 200. *Musg.*

1043. ὀλομέναν D. ut et Br. ed. Mox D. Ἐριννῦν. *Beck.*

1047. Ex sequente versu D. huc refert ἰάλεμοι δὲ, tum illa παρθένων — οἴκοις jungit. *Beck.*

1050, 1. ἤϊον βοὰν, ἤϊον μέλος, nihil præterea, Ald. Veram lectionem restituit Grotius. Semel tantum βοὰν et μέλος plerique MSS. et fortasse Eustathius ad Il. Δ. p. 500, 43. (382, 14.) ubi male editur βέλος. Porro versus hos transponunt Eustathius et Cant. *Por.*

1050. Ἤϊον] alias ἰήϊον, et ita MS. C.C.C. *Barnes.*

Valck. edidit cum King. et Grot. Ἰήϊον βοὰν, βοὰν, Ἰήϊον μέλος, μέλος. In plerisque Edd. et Codd. semel tantum βοὰν et μέλος legebatur. Bis erat in Edd. Ἤϊον Ἰήϊον jam Grot. vulgarat, est etiam in Leidd. 2. Versus in choricis cantilenis sæpe corruperunt librarii, dum voces omittunt, quæ repetendæ fuerant.

1050. s. In D. unus versus ita scriptus:

ἰήϊον βοὰν, ἰήϊον μέλος.

Brunck. edidit:

ἰήϊον βοὰν, βοὰν,
ἰήϊον μέλος, μέλος. *Beck.*

1052. ἄλλ' est conjectura Valckenærii pro ἄλλον. Cum membr. cum aliis habe

Ἰήϊον βοὰν, βοὰν,
Ἰήϊον μέλος, μέλος,
Ἄλλος ἄλλ' ἐπωτότυζε
Διαδοχαῖς ἀνὰ πτόλιν.
Βρονταὶ δὲ στεναγμὸς,
Ἰαχὰ τ' ἦν ὅμοιος.

Lugubrem vocem, vocem,
Lugubre carmen, carmen,
Alius alium lugebat
Successive per urbem.
Tonitrui autem luctus
Clamorque erat similis,

ἐν τὰ τέκνα, αἱ δὲ τοὺς ἀδελφοὺς, θρηνητικὴν βοήν. ἄλλος ἄλλην ἐθρήνει. ὁ στεναγμὸς ἡ ἠχὴ βροντῇ ὑπῆρχεν ὅμοιος, ὅταν ἀναρπάσειεν ἡ Σφὶγξ ἀπὸ τῆς πόλεως τινὰ τῶν

. Ἄχεα πατρίδι φόνια] Τινὲς τὸ φόνια πρὸς τὰ ἑξῆς, ὃς τάδε τὰ φόνια πράξας φόνιος ἦν 1045. "φόνιος ἐκ θεῶν] Ὁ ἐκ θεῶν ταῦτα πράξας, οὗτος φόνιος ἦν. παρόσον τὴν Σφίγ- Διόνυσος ἔπεμψε τοῖς Θηβαίοις ὡς ἐναντία λέγειν." 1050. Ἰήϊον βοὰν] Ἐπὶ μὲν θρη- λοῦται, ἐπὶ δὲ παιάνων δασύνεται. 1052. Ἐπωτότυζε] Ἐσχετλίαζεν, ἀπὸ τοῦ ὀττοτοί.

ότυζε,] Brunckius edidit ἄλλον ἐπο- Male τ duplicant MSS. et editi Semper ὀτοτοὶ et ὀτοτύζω scri- . *Por.*

s. Olim erat unus trochaicus te- r catalecticus. King. ita separa- Musgr. edidit, sed ut metrum eva- haicum purum, ἐπωτότυζε mutari ὠτότυζε. Tuetur Heath. ἐπωτό- elegantissime positum dicit: *alius um ejulabat*; et cum versus hic et icus sint utrique legitimi trochai- sibi invicem respondere, atque n, qua trochæo dactylus vel spon- locis paribus opponatur, apud At- quentissimam esse monet. Valck. t:

Ἄλλος ἄλλ' ἐπωττότυζε
Διαδοχαῖς ἀνὰ πτόλιν.

itur pro ἄλλο, nempe μέλος ἰήϊον, ι, *alia*, et ἐπωττότυζε cum duplici ebant codd. Leidd. in quorum al- pra scriptum ἔκλαιε, in altero ἐ- ζεν ἀπὸ τοῦ ὀττοτοί.

. s. In unum jungit Beckius,

ἄλλον ἐπωτότυζε διαδοχαῖς ἀνὰ πτόλιν

ivisit atque ita exhibet:

ἄλλος ἄλλον ἐπώτυζε (sic)
διαδ. ἀνὰ πτ.

Brunck. eodem modo divisit, sed scripsit ἐποτότυζε. Sic enim, omisso augmento, quod in melicis sæpe negligatur, versum fieri meliorem. Sensus est: *alius alium super alium 'plorabat*. Gl. cod. D.: ἄλλος ἐπ' ἄλλον ἐσχετλίαζε. *Beck.*

ἐπωτότυζε] Malim ob metrum ὠτότυζε. cujus alterum forte interpretamentum erat. *Musg.*

1054—1056. Ita edidit Beckius,

Βροντᾷ δὲ στεναγμὸς 1046
Ἰαχᾷ τ' ἦν ὅμοιος,
Ὁπότε πόλεας ἀφανίσειεν.

1046. (B.) Antispasticus hemiolius. 1047. (B.) antispasticus dimeter catalectus ex epitrito quarto pentasyllabo et tertio catalecto quadrisyllabo. 1048. (B.) antispasticus hemiolius ex epitrito quarto pentasyllabo (fit enim synizesis in voce πόλεως) et iambo. *Heath.*

1055. Ita disponit et scribit D.:

ἰαχή τ' ἦν ὅμ. ὀπ. πόλεως
ἀφαν. ἁ πτ. πάρθ.
τιν' ἁ. χρ. δ' ἔφα πυθίαισιν (sic)
ἀποστ. οἰδ. ὁ τλάμων

Ὁπότε πόλεος ἀφανίσει'
Ἁ πτεροῦσσα παρθένος τιν' ἀνδρῶν.
Χρόνῳ δ' ἔβα Πυθίαις, ἀποστολαῖσιν — ἀντιστροφή.
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν,
Τότ' ἀσμένοις, πάλιν δ' ἄχη.

Quoties ex urbe, ex hominum conspectu abripuisset
Alata virgo aliquem virum.
Tandem vero venit Pythio missu
Œdipus miser
Thebanam *in* hanc terram
Tunc *quidem* volentibus, postea autem acerbitas.

P. ἀνδρῶν, θρῆνος καὶ βοὴ ἐγένετο. Χρόνῳ δὲ ὕστερον ἔβη ὁ ἄθλιος Οἰδίπους εἰς τήνδε τὴν Θηβαίαν γῆν, ἐν ἀποστολαῖς Πυθίαις, καὶ ταῖς τοῦ Πυθίου, ἀσμένοις, καὶ χαίρουσι τοῖς Θηβαίοις τότε, διὰ τὸ θανατῶσαι τὴν Σφίγγα, πάλιν δὲ καὶ ὕστερον ἄχη ὑπῆρξε διὰ τὰς γεγενημένας ἀπ' αὐτοῦ συμφοράς· καλλίνικος δὲ καὶ νικητὴς ὢν τῶν τῆς Σφιγγὸς αἰνιγμά-

S. 1057. Πυθίαις ἀποστολαῖσι] * Οὐκ ἐπὶ τὸ ἀνελεῖν τὴν Σφίγγα ἐπέμφθη παρὰ τοῦ Πυθίου Οἰδίπους, ἀλλὰ χρωμένῳ περὶ τῶν γονέων ἀνεῖλεν αὐτῷ, ὡς τούτους φονεύσει. καὶ ὅς, φοβηθεὶς διὰ τὸν χρησμὸν ἀπελθεῖν εἰς Κόρινθον, ἵνα μὴ τὸν δοκοῦντα γονέα Πόλυβον ἀποκτείνῃ, καταλαμβάνει Θήβας. Πυθίαις ἀποστολαῖσιν] Ταῖς τοῦ Ἀπόλλωνος πομπαῖς· πυνθανομένῳ γὰρ Οἰδίποδι περὶ γονέων, ἔχρησεν αὐτῷ ὁ θεός, ὡς ἀποκτείνας τὸν πατέρα γαμήσει τὴν μητέρα· διὸ εἰς Θήβας ἦλθεν, οὐκ εἰς Κόρινθον, φοβούμενος μή, ἀπο-

* Οὐκ ἐπὶ τὸ ἀνελεῖν] Sic Valck. pro vulg. ἐπὶ τῷ ἀνελεῖν. *Beck.*

Etiam Brunck. exhibet:

ἰαχά τ' ἦν ὅμ. ὅτε
πόλ. ἀφαν. *Beck.*

ἰαχά] Ita Kingius ex MSS. vulgo ἰαχᾷ τ'. Non spreverim ἄχα (i. e. ἤχη), quod metro convenientius. *Musg.*

1056. ὅτε Grotius et Kingius; ὁπότε Aldus et plurimi codices. πόλεως ἀφανίσειεν Ald. et MSS. Posterius servare poteris legendo γαῖαν in antistrophe. Sed dedi, quod Musgravius voluit. *Por.*

Leid. 2. ἰαχή τ' ἦν ὅ. Flor. ἰσχά τ' ἦ. ὅ. quod genus mendæ frequens. V. Pro ὁπότε, quod et Leidd. retinent, Valck. cum King. dedit ὅτε, sic:

Ἰαχά τ' ἦν ὅμοιος, ὅτε
Πόλ. ἀφ. *Beck.*

Metrum postulare videtur πόλεος ἀφανίσει'. *Musg.*

1057. Πτεροῦσσα] Pro πτερόεσσα. Male olim πτεροῦσα, sicut et supra v. 1033. *Barnes.*

1060. ss. in D. ita disponuntur et scribuntur:

Θήβ. τήνδε γᾶν. τότ' ἄσμενος
πάλιν—δυσγάμους
ὁ τάλας—αἰνιγμάτων
συν—πόλιν. *Beck.*

1061. ἀσμένοις, quod dant Aldus, et septem minimum MSS. recte defendit Musgravius ex Aristophanis Pace 582. ἀσμένοισιν ἦλθες ἡμῖν, et Sophoclis Trach. 18. ἀσμένῃ δέ μοι Ὁ κλεινὸς ἦλθε. Æschyl. Prom. 23. ἀσμένῳ δέ σοι Ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος. *Por.*

Ἄσμενος] Ita MS. et *Scholiastes:* quare ἀσμένοις inter varias lectiones repono, et γνήσιον vocabulum in textum recipio. *Barnes.*

In Leidd. ἄσμενος. Mox πάλιν ἄχη vel πάλιν ἄχθος scribit Valckenærius ut strophes versui, prout eum constituit, respondeat.

ἀσμένοις e membr. scripsit D. *Beck.*

Ματρὶ γὰρ γάμους δυσγάμους τάλας,
Καλλίνικος ὢν
Αἰνιγμάτων, ξυνάπτει,
Μιαίνει δὲ πτόλιν.
Δι' αἱμάτων δ' ἀμείβει
Μυσαρὸν εἰς ἀγῶνα

Cum matre enim nuptias infelices miser,
Præclaram victoriam adeptus
Ænigmatum, contraxit;
Polluit autem urbem,
Per sanguinem vero versat:
Execrandum in certamen

συνάπτει ὁ τάλας τῇ μητρὶ γάμους, (παρανομώτατοι γὰρ) μιαίνει δὲ καὶ μολύνει ἐκ ταύτης παράνομου συναφῆς τὴν πόλιν. ἀμείβει δὲ καὶ διέρχεται τὴν πόλιν δι' αἱμάτων ὁ φόνων καταβαλὼν ὁ μέλεος τὰ τέκνα ἐν ἀραῖς εἰς ἀγῶνα μυσαρὸν καὶ βδελυρὸν, καὶ

ς Πόλυβον, γαμήσει Μερόπην. 1061. Τότε μὲν ἄσμενος] Ἀντὶ τοῦ ἡδὺς, διὰ τὸ λῦσαι ιγμα, πάλιν δὲ, ἤτοι ὕστερον, ἄχη συνάπτει, διὰ τὸν γάμον τῆς μητρὸς, καὶ τὰ , ἀπὸ κοινοῦ δὲ τὸ συνάπτει. 1062. Καλλίνικος ὢν] Τὸ ἑξῆς, καλλίνικος γὰρ ὢν τῶν ιάτων τῆς Σφιγγὸς * ἕνεκα, γάμους συνάπτει κακῶς τῇ μητρὶ αὐτῇ. 1066. Δι' ων] Τὴν πόλιν δὲ διὰ φόνων ἐναλλάσσει, τὸ δὲ ἀμείβει, ἀμείβεσθαι ποιεῖ, ἐμβαλὼν διὰ ῶν τοὺς παῖδας εἰς φιλονεικίαν. Ἄλλως. Τὰ πρῶτα κακὰ, δι' αἱμάτων ἤλλαξεν, ὼν τοὺς παῖδας διὰ καταρῶν εἰς φιλονεικίαν. Ἄλλως. Διὰ φόνων δὲ διέρχεται εἰς τὴν ισμένην φιλονεικίαν. λέγει δὲ τὴν μονομαχίαν. καταβαλῶν διὰ τῶν ἀρῶν τὰ ἑαυτοῦ

* Ἕνεκα recte deest in cod. Aug. *Beck.*

μέσου τοῦ τείχους ἁρπάζουσα, ἐγέγραπτο γὰρ ἡ πόλις ἐν τῇ ἀσπίδι· εἶδεν οὖν ταῦτα ὁ ἄγγελος πεμπόμενος, ὡς αὐτὸς φησὶ, ἐξ Ἐτεοκλέους κατάσκοπος, καὶ φέρων γνωρίσματα τῶν πολεμίων, ἕκαστον τῶν στρατηγῶν, τοῖς Θηβαίοις. 1153. "Ἀργεῖον αὔχημ'] * Ἀλλὰ "γὰρ βασιλεὺς ὢν τοῦ Ἄργους ἔφερε παράδοξα καὶ αὐχήματα μαινομένῳ ἐναρπάζοντ — "τὰς Θήβας. Ἐν Λέρνῃ δὲ τῇ Ἀργείᾳ κρήνῃ ἀνεφύη ἡ Ὕδρα, ἥτις δρακοντίας κεφαλὰς "παμπληθεῖς εἶχεν. οὕτω γοῦν Ἡρακλῆς ὁρῶν αὐτὰς τεμνομένας καὶ πάλιν φυομένας καὶ "βλαστανούσας, ἐκέλευσεν Ἰολάῳ τὰς τεμνομένας παρακαίειν. ἔφερεν οὖν τὴν ἀσπίδα τοῖς "ἀριστεροῖς βραχίοσι, τῇ γραφῇ τῆς Ὕδρας πεπληρωμένην, καὶ διὰ τῆς γραφῆς τῆς Ὕδρας "ἐχίδναις αὐτὴν ἐκπληρῶν καταγραφούσαις. † αἳ δὴ καὶ πανήρπαζον. Ὕδρα ὄφις ἦν "ἔχουσα κεφαλὰς ρ. καὶ Ἄλλως. Ἀπὸ τῆς Ὕδρας ἐξήρχοντο κεφαλαὶ, αἳ κεφαλαὶ τῆς "Ὕδρας ἐχιδνώδεις. Αἱ ἔχιδναι ἀπὸ τῆς Ὕδρας ἐξήρχοντο. Δράκοντας δὲ εἶπεν, εἶδος ἀντὶ "εἴδους παραλαμβάνων." Ἐκ δὲ τειχέων μέσων] Ἐκ μέσου δὲ τῶν τειχῶν, εἰς τύπον τῶν Θηβῶν ἐζωγραφημένων, οἱ δράκοντες, ἀντὶ τοῦ αἱ κεφαλαὶ τῆς Ὕδρας, ἔφερον ταῖς ἑαυτῶν γνάθοις, ἤγουν σιαγόσι, τὰ τέκνα τῶν Καδμείων. 1156. Ξύνθημα] Ἀγγελίαν, μήνυμα, σημεῖόν τι ἴδιον, ‡ εἰ γινώσκουσιν ὑπὲρ τοῦ μὴ τοὺς ἰδίους φονεύειν. Ποιμέσιν λόχων] Τοῖς στρατηγοῖς

* Valck. vult: Ἄδραστος, βασιλεὺς ὢν τοῦ Ἄργους, ἔφερε παράδοξα καὶ Ἀργεῖα αὐχήματα μαινόμενος ἀναρπάζειν τὰς Θήβας. *Beck.*

† Αἳ δὴ καὶ πανήρπαζον] Scribendum forte, αἳ Θηβαίων παῖδας ἥρπαζον, et paullo ante pro παρακαίειν legi potest περικαίειν. *Beck.*

‡ Εἰ γινώσκουσιν] Forte εἰς γνώρισιν legendum conjicit Valck. *Beck.*

Βοιωτίας καλεῖσθαι. His positis, portarum nomina sic distribuo: 1. Προιτίδες. 2. Ἠλεκτραί. 2. Νηῗται. 4. Ὀγκαΐδες ἢ Ὠγύγιαι. 5. Βόῤῥαιαι ἢ Ὑψισται ἢ Βοιώτιαι. 6. Ὁμολωΐδες. 7. Κρηναῖαι ἢ Διρκαῖαι. *Por.*

1151. γραφὴν pro γραφῇ est Valckenærii emendatio. Et sic habet J. ῆ suprascripto. *Por.*

Codd. Leidd. et Flor. Ἑκατὸν δ' ἐχίδναις. Verba Eurip. obversata esse Virgilio Æn. 7. 657. et Silio Ital. 2, 158. monet Valcken. idemque ita ea emendat: Ἑκατόν γ' ἐχίδναις ἀσπίδ' ἐκπληρῶν, γραφὴν Ὕδρας ἔχων λαιοῖσιν ἐν βραχίοσιν Ἀ. α. Hydræ Lernææ pictura, vel ipsa hydra, ex hac emendatione dicitur Ἀργεῖον αὔχημα, hanc Adrastus gerebat λαιοῖσιν ἐν βραχίοσιν, atque adeo in ἀσπίδι, (quod in cod. Flor. pro illo legitur,) clypeum. insignem hydra, angues centum implebant, vel hydram in clypeo centum angues cingebant; novem scilicet, quæ fingebantur, capitibus hydræ centum substituerat Simonides. Valck. Abresch. Auct. Dil. Th. p. 245. γραφῇ accipit pro γεγραμμέναις. *Beck.*

Optime Reiskius et Valckenærius γραφὴν, sublata distinctione post ὕδρας. *Musg.*

1152. Λαιοῖσιν ἐν βραχίοσιν] *Synecdoche* numeri. Vid. supra ad v. 1108. *Barnes.*

λαιοῖσιν sic D. Brunck. edidit: ἐκπληρῶν, γραφὴν ὕδρας ἔχων — Etiam in ipsius codd., ut in D. erat, γραφῇ. *Beck.*

1153. Ἀργείων D. *Beck.*

1155. Παρῆν δ' ἑκάστου] Ita MS. optime; cum in impressis libris quod scriptum erat, ἑκάστῳ, *Criticos* male torquebat. Inprimis *Duportus* legebat ἑκὰς τὰ, bene quidem, sed duriuscule sonat; mallem

Καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
Ἐμαρνάμεσθα, σφενδόναις θ' ἑκηβόλοις,
Πέτρων τ' ἀραγμοῖς· ὡς δ' ἐνικῶμεν μάχῃ,
Ἔκλαγξε Τυδεὺς, καὶ σὸς ἐξαίφνης γόνος·
Ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
Τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
Γυμνῆτες, ἱππεῖς, ἁρμάτων τ' ἐπιστάται;

Et primo quidem arcubus et sagittis
Pugnabamus, et fundis longe ferientibus,
Saxorumque fragmentis: cum autem essemus superiores pugna,
Clamavit Tydeus, et tuus derepente filius,
O filii Danaûm, priusquam laceremur jactibus,
Quid cunctamini simul omnes irruere in portas,
Leviter armati, equites, et gubernatores curruum?

S. τῶν ταγμάτων. 1157. Μεσαγκύλοις] Τοῖς ἀκοντίοις, διὰ τὸ κατὰ μέσον τοῦ ξύλου τὰ ἀκόντια ἀγκύλον τι καὶ κοῖλον ἔχειν. Μεσαγκύλοις] Τὸ μεσάγκυλον εἶδός ἐστιν ἀκοντίου, ἐν μέσῳ τῷ ξύλῳ κοιλον ἔχον, ὡς ἂν ἐρείδηται ἡ χεὶρ τοῦ πέμποντος, κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς υ ψιλόν. 1159. "Πετρῶν τ' ἀραγμοῖς] Σχίσμασι, κλάσμασιν· οὐ γὰρ πέτρας ἔρριπ-"τον, μεγάλας οὔσας, ἀλλ' εἰς μικρὰ κλῶντες ἔρριπτον. Ἄλλως. Βολαῖς σφοδραῖς." 1161. Πρὶν κατεξάνθαι βολαῖς] "Πρὶν κατὰ πληγὰς αἱματωθῆναι, διαφθαρῆναι." ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν τῇ ἐργασίᾳ ξαινομένων. Κατεξάνθαι] Ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν * ξανθέντων τῇ ἐργασίᾳ. † Κατεξάνθαι] Ἀπὸ τοῦ ξαίνω, τοῦ μαστίζω. 1162. Τί μέλλετ'] Διατί κατ' ὀλίγον ἀναλισκόμεθα, καὶ οὐχὶ πάντες ἐμπίπτομεν ταῖς πύλαις; Ἄλλως. Τί βραδύνετε ‡ μετηόρῳ κινήματι καὶ διεγηγερμένῳ ὥστε ἐπιτίθεσθαι ταῖς πύλαις. 1163. Γυμνῆτες, ἱππεῖς] "Ὄνομα στρατιωτῶν, οὐ πανοπλίᾳ χρωμένων, ἀλλὰ τῇ σφενδόνῃ."

* Ξανθέντων] Hoc. a Barn. profectum, monente Valck. *Beck.*
† In uno Leid. cod. verbo Κατεξάνθαι adscriptum κατὰ μικρὸν ἠφανισθῆναι. *Beck.*
‡ Μετεώρῳ — διεγηγερμένοι habet Cod. D. *Beck.*

equidem ἕκαστα, inquit alius. *Risum teneatis.* Nunc vero hæc nostra lectio omnes tollit scrupulos: Παρῆν δέ μοι, δηλονότι σύνθημα παραφέροντι ποιμέσιν λόχων, ἑκάστου τούτων ἡγεμόνων θέαμα. *Barnes.*

ἑκαστου] Ita MSS. Leid. Cantab. et Lib. P. Ed. Ald. ἑκάστῳ. *Musg.*

1156. παρφέροντι Aldus et pauci codices. πρὸς φέροντι K. *Por.*

παραφέροντι et ποιμέσι D. παραφέροντι etiam Br. edidit. *Beck.*

παραφέροντι] Ita MSS. Bodl. Cantab. et alter Leidensium. Ed. Ald. παρφέροντι. *Musg.*

προσφέροντι Leid. 2. Cod. Flor. ξύνθημα πέρα φέροντι. Forte librarius invenerat περιφέροντι. παρφέροντι reponendum monuit Ducker. ad Thuc. 6. 69. *Valck.*

1157. Laudat Eustath. ad Il. β. p. 260, 31. ubi de verbo Μεσάγκυλον disputat. *Beck.*

1158. ἑκαβόλοις Aldus, nimis Dorice. *Por.*

In Edd. et Codd. ἑκαβόλοις, sed in Cant. et Eustath. recte ἑκηβόλοις. Confert Valck. Iph. Taur. 1388.

ἑκηβόλοις D. ut et Br. ed. e membr. *Beck.*

1159. Πετρῶν ἀραγμοῖς Heath. reddit *saxorumque jaculationibus*; ἀράσσειν enim proprie de saxorum jactu dici. — Mox. Flor. ὡς δὲ νικῶμεν —

ταραγμοῖς D. *Beck.*

1160. ἔγκλαγξε D. *Beck.*

1161. Flor. π. κ. μολών. In Leid. uno verbo κατεξάνθαι additum interpretamentum ἀφανισθῆναι, in altero κατὰ μικρὸν ἀφανισθῆναι. Frequentatur κατεξάνθαι hoc sensu Euripidi. *Beck.*

Ἠχῆς δ' ὅπως ἤκουσαν, οὔτις ἀργὸς ἦν,
Πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι·
Ἡμῶν τ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
Πυκνοὺς κυβιστητῆρας ἐκνενευκότας·
Ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
Ὁ δ' Ἀρκάς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,
Τυφὼς πύλαισιν ὥς τις ἐμπεσών, βοᾷ

Postquam autem audiverunt hanc vocem, nullus erat ignavus:
Multi autem cadebant cruentati capita.
Et e nostris quoque in solum vidisses ante mœnia
Crebros saltatores expirare animam:
Siccam autem rigabant terram fluxu sanguinis.
Arcas vero ille, non Argivus, filius Atalantæ,
Sicut turbo quidam in portam irruens, clamat

. οἱ σφενδονῆται ἢ οἱ τοξόται. 1164. Ἠχῆς] Ἠχὴ ποιητικὸν, ἦχος κοινόν. ἠχὼ δὲ τὸ τῆς κραυγῆς ἀντίφθεγμα, καὶ ὄνομα θεᾶς. 1165. Πολλοὶ δ' ἔπιπτον] Πολλοὶ δὲ Ἀργείων ἐξ ἡμῶν δηλονότι, ἄνωθεν λίθοις βεβλημένοι, τὰς κεφαλὰς αἱματούμενοι, ἔπιπτον εἰς γῆν· οὐ μόνον δὲ Ἀργεῖοι ἀλλὰ καὶ ἐξ ἡμῶν πολλοὺς ἂν εἶδες κατὰ γῆς ἐῤῥιμμένους πρὸ τῶν τειχῶν ἡμιθνῆτας, πάλλοντας τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ὥσπερ * κυβιστητῆρσιν ἐοικότας. 1167. Κυβιστητῆρας, ἐκπεπνευκότας] Τὴν ψυχὴν παραδιδόντας, καὶ ἐπὶ τῆς κεφαλῆς πίπτοντας. 1169. Ὁ δ' Ἀρκὰς] Ἀρκὰς γὰρ ὢν ἐν Ἄργει ἐπαιδεύθη, ὡς ἐν ἄλλοις φησίν "Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς Παιδεύεται κατ' Ἄργος." Ἀταλάντης γόνος] Ὁ Παρθενοπαῖος. Τυφὼς] Ἡ κοινῶς λεγομένη ἀνεμοζάλη. 1170. Τυφὼς πύλαισιν] † Τύφεσθαί ἐστι τὸ τοὺς ὀφθαλμοὺς συγκεχύσθαι. Μένανδρος ἐν Φιλαδέλφοις, "Νὴ τὸν Δία τὸν μέγιστον ἐκτυ-

* Ὥσπερ κυβιστητῆρσιν ἐοικότας] King. edidit: κυβιστῆρσιν ἐοικότες. *Beck.*

† Hoc scholion, quod B. ex MS. C. C. C. protulit, legitur jam in vett. Schol. Edd. sed in ed P. Stephani omissum erat. ἐκτυφέσομαι] Ἐκτυφώσομαι Aug. quod est communis dialecti. *Beck.*

1163. Copulam, quam omissam voluit Valckenærius, omittit J. *Por.*

ἱππῆς h. l. et v. 1207. scripsit Brunck. ex usu Atticæ dialecti.

Copulam τ' ante ἐπιστάται omitti jubet Valck. ut versus sit accommodatior festinantis celeritati. Olim perperam deerat distinctio inter Γυμνῆτες et ἱππεῖς. v. Valck.

γυμνῆτ' ἱπποῖς D. *Beck.*

1164. ἀργὸς οὔτις ἦν Ald. contra MSS. ceterosque. *Por.*

Valck. transpositis auctoritate codd. Leidd. et Flor. vocibus edidit: — οὔτις ἀργὸς ἦν.

οὔ τις ἀργὸς ἦν D. atque ita e membr. quoque edidit Br. qui est magis concinnus verborum ordo. *Beck.*

1166. ἡμῶν δ' Ald. alterum plures MSS. Mox ἐκνενευκότας, pro ἐκπεπνευκότας, conjectura est Marklandi ad Suppl. 692. probata a Valckenærio ad Hipp. 822. et a Brunckio. *Por.*

In Leidd. et Flor. etiam est, quod Barn. dedit: Ἡμῶν δ' ἐς — Euripidea imitatur Lycophron. 296. Πυκνοὶ κυβιστητῆρες ἐξ ἑδωλίων πηδῶντες αἱμάξουσιν ὀθνείαν κόνιν. Sed primus imaginem pinxit Homerus Il. ε. 586. π. 742. ζ. 42. ἐκκολυμβῶν νηὸς et δίφρων θρανσθέντων ἐκκυβιστῶν sunt Euripidea. v. Valcken. Pro ἂν Reisk. conjicit αὖ, coll. v. 1250.

Ἡμῶν δ' ἐς — D. et membr. Retinuit tamen Brunck. vulgatam τ'. *Beck.*

1167. κυβιστῆρας D. cum gl. κατὰ κεφαλῆς πίπτοντας. Brunck. Marklandi conjecturam ἐκνενευκότας non improbat. *Beck.*

Πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν.
Ἀλλ᾽ ἔσχε μαργῶντ᾽ αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρᾳ
Ἁμαξοπληθῆ, γεῖσ᾽ ἐπάλξεων ἄπο·

Ignem et ligonem, tanquam eversurus urbem.
Sed repressit ipsum furentem marini dei
Filius Periclymenus, dejiciens saxum in caput,
Quod implevisset plaustrum, pinnas a propugnaculo;

P. ΑΓΓ. Ἀλλ᾽ ἐπέσχε μαινόμενον αὐτὸν ὁ τοῦ Ποσειδῶνος παῖς Περικλύμενος, λίθον ἐπιῤῥίψας κατὰ τὸ κάρα μέγαν καὶ ἅμαξαν ἱκανὸν πληροῦν, λέγω ἐξέχουσαν πέτραν ἀπὸ τῶν * προμαχείων. τὴν ξανθότριχα δὲ κεφαλὴν εἰς λεπτὰ κατέθραυσεν, καὶ συνδέσεις ὀστέων ἔσχισε,

S. φήσομαι." Καὶ ἐν Ἐπιτρέπουσιν,—— ἐξετύφην μὲν οὖν Κλαίουσα. Τυφὼς μὲν οὖν ἡ ἐκ τῆς ἀναθυμιάσεως, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα, συστροφή· βούλεται δὲ ἀπὸ μέρους τὸ πῦρ δηλῶσαι· ἐμπεσὼν, φησὶ, ταῖς πύλαις, ὡς πῦρ, ἀνεβόησε φωνῇ μεγάλῃ, πῦρ καὶ δικέλλας αἰτῶν· τινὲς ἐκ τοῦ Τυφῶνος ἐδέξαντο ἑνὸς τῶν γιγάντων. Τυφὼς] Ταράστιος δαίμων, καὶ τὸ σφοδρὸν τοῦ ἀνέμου. 1171. Πῦρ καὶ δικέλλαν] † Δότε μοι δηλονότι, ἵνα καταβάλω πόλιν. 1172. Ἀλλ᾽ ἔσχε] Πρὸς ταῖς Κρηναίαις πύλαις φησὶ τὸν Παρθενοπαῖον ὑπὸ τοῦ Περικλυμένου λιθοβοληθῆναι ‡ Ἀριστόδημος. Μαργῶντα] Μεμηνότα. Ἐναλίου θεοῦ] Τοῦ Ποσειδῶνος. 1174. Ἁμαξοπληθῆ] Δυνάμενον πληρῶσαι ἅμαξαν, ἀπὸ κοινοῦ τὸ ἐμβαλών. "§ Γεῖσσ᾽ ἐπάλξεων ἄπο] ‖ Ὃν εἶπε λίθον, τοῦτο γεῖσσα λέγει, ὄντα τῶν τειχέων. Ἄλλως. Τὰς ποικίλας ἐξοχὰς τοῦ οἰκοδομήματος. Ἄλλως. Τὰ ἄκρα τῶν ἐπάλξεων."

* Apud Valck. προμαχεώνων. *Beck.*

† Scholiastæ hoc supplemento opus non esse docet Valck. ad Eurip. loc. *Beck.*

‡ Ἀριστόδημος] Ἀριστόβουλος Aug. male. ibid. τοῦ Ποσειδῶνος] King. e cod. dedit: τοῦ Ἄρεος ἢ τ. Π. quæ sunt Grammatici confundentis verba Ἐνυάλιος at Ἐνάλιος. *Beck.*

§ Schol. in Cod. Leid. interpretatur: τὰς ἐξεχούσας πέτρας ἀπὸ τῶν προμαχεώνων. *Beck.*

‖ Valck. emendat: ὃν εἶπε λᾶαν, τοῦτο γεῖσσα λέγει, λίθον ὄντα τ. τ. *Beck.*

1168. ῥοαὶ D. sed superscr. paraphr. τὴν ξηρὰν δὲ γῆν κάθυγρον ἐποίουν ταῖς ῥοαῖς τοῦ αἵματος. *Beck.*

1171. δικέλλας Grot. Leidenses, et, opinor, alii pro δίκελλαν. Kingius etiam κατασκάψω ex MSS. sed alterum melius. *Por.*

Ὡς κατασκάψων πόλιν] MS. κατασκάψω: et tum fit *Prosopopœia*, hoc sensu:—*Clamat: Ferte flammas, ferte ligones, ut funditus evertam urbem. Barnes.*

κατασκάψω etiam Leidd. et Flor. Tamen κατασκάψων præfert Valck. neque enim cum Grammatico ad πῦρ καὶ δικέλλας supplendum esse δότε, sed βοᾷ vertendum *clamando petit*, monet.

δικέλλας edidit Brunck. quamvis Vulg. in membr. esset. Mox D. κατασκάψω, et supra καταβάλλω, καταστρέψω. In membr. κατασκάψων est. *Beck.*

κατασκάψων] Kingius ex MSS. κατασκάψω, minus commode. Pro δικέλλας Ed. Ald. δίκελλαν. Sed recte pluralem prætulerunt Grotius et Valckenærius consentientibus etiam MSS. Leidensibus. *Musg.*

1172. Ἐνυαλίου L. Mox 1178. Μαινάλου χθόνα pro v. l. Schol. August. *Por.*

Huc respicit Apollodor. Bibl. 3. p. 156. Parthenopæi cædem etiam Periclymeno, Neptuni filio, imputavit Antimachus in Thebaide ap. Pausan. 9. p. 746. *Valck.*

1173. Περικλύμενος] *Euripides* hic sequitur *Thebaidos* scriptores, qui, uti *Pausanias* testatur in *Bœot.* fol. 295. l. 1. etc. *Parthenopæum* a *Periclymeno* occisum memorant: *Thebani* ab *Asphodico* cæsum dixere. *Statius* a *Dryante*: nec enim is satis fideliter veterum hæret vestigiis. *Barnes.*

κάρα (sine iota subscr. ut semper) D. sed supra κατὰ τὸ, ita ut librarius saltem pro accusativo habuisse videatur. *Beck.*

1174. Ἐπάλξεων ἄπο] Vid. *Canterum* Novar. Lection. l. 3. c. 3. Qui tamen

Ξανθὸν δὲ κρᾶτα διεπάλυνε. καὶ ῥαφὰς
Ἔῤῥηξεν ὀστέων, ἄρτι δ᾽ οἰνωπὸν γένυν
Καθῃμάτωσεν. οὐδ᾽ ἀποίσεται βίον
Τῆι καλλιτόξωι μητρὶ, Μαινάλου κόρηι.

Flavumque caput comminuit, et suturas
Ossium rupit: statimque rubras genas
Cruentavit: neque referet vitam
Insigni jaculatrici matri, Mænali, i. e. *Arcadicæ*, Puellæ.

τὴν ἄρτι δὲ ξανθότριχα σιαγόνα, ἤγουν τὴν οὐ πρὸ μακροῦ τὰς μακρὰς τρίχας φύσασαν, ...αιμαγμένην ἐποίησε, οὐδὲ διασώσει τὴν ἑαυτοῦ ζωὴν, ἤγουν οὐδὲ ἀπάξει ἑαυτὸν ζῶντα, τῇ ...υτοῦ μητρὶ τῇ Ἀταλάντῃ τῇ τοξικῇ, τῇ κόρῃ τοῦ Μαινάλου, ἤγουν τῇ περὶ τὸν Μαίναλον

1175. Ξανθὸν δὲ κρᾶτα] Ἀμφίβολον * πότερον τοὺς κρᾶτας εἶπεν, ἢ τὰς κράτας, ἐπεὶ κα... Ἀρχελάῳ, "Ἐγὼ δὲ τὸν σὸν κρᾶτ᾽ ἀναστέψαι θέλω." καὶ Ὅμηρος ἀμφιβόλως εἴρηκεν ...ῶν, Κρατῶν τυπτομένων. καὶ Ἴων, "Τύπτων τὸν αὐτοῦ κρᾶτα." Ξανθὸν δὲ κρᾶτα] ...νθὸν δὲ κρᾶτα (τὴν ξανθότριχον λέγει) εἰς λεπτὰ κατέθραυσεν. τὴν ἄρτι δὲ ξανθότριχα ...ῦν, ἢ σιαγόνα, ἢ ἤγουν τὴν οὐ πρὸ μακροῦ τὰς ξανθὰς τρίχας φύσασαν, ᾑμαγμένην ...ίωσεν. Διεπάλυνε] Διελέπτυνε. Διεπάλυνε] Εἰς λεπτὰ διέχεε· καὶ γὰρ παιπάλη λέ... τὸ λεπτὸν τοῦ ἀλεύρου· Ὅμηρος, "——— ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας," ἀντὶ ...ῦ ἐπέπασσεν· παρὰ τὸ, "——— πάλασσετο δ᾽ αἵματι θώρηξ." Ῥαφὰς] Συνδέσεις. 1176. Οἰνωπὸν] Πυῤῥὰν, ξανθίζουσαν γένυν, ἣν παραχρῆμα ᾑμάτωσεν. 1177. Οὐ δ᾽ ἀποί... σεται] Οὐδὲ κομίσει ἑαυτὸν ζῶντα πρὸς τὴν μητέρα. Ἄλλως. Οὐδὲ διασώσει τὴν ἑαυτοῦ ...ὴν, ἤγουν οὐδὲ ἐπάξει ἑαυτὸν ζῶντα τῇ ἑαυτοῦ μητρὶ τῇ Ἀταλάντῃ κόρῃ τοῦ Μαινάλου, ... τῇ περὶ τὸ Μαίναλον διατριβούσῃ. Ὄρος Ἀρκαδίας τὸ Μαίναλον. 1178. "Μαινάλου κόρῃ] Ἡ ἀπὸ Μαινάλου, ὄρους Ἀρκαδίας· ὡς φιλοκάρηνος δὲ ἐν ὄρει διέτριβε, τὸ δὲ Κόρη

* Πότερον τοὺς —] Legendum esse Valck. monuit; π. τὸν κρᾶτα εἶπεν, ἢ τὸ κρᾶτα. Ἀναστρέψαι] Ἀναστέψαι V. et M. de conjectura Barn. in Add. Locus Homeri est Od. χ. 309. *Beck.*

...in loco mire videtur hallucinatus. ...*clymenus* enim, cum desuper a muris ...naret, hoc quicquid erat saxi a propug...ulorum pinnis revulsum in *Partheno*...caput dejecit. Et MS. ἄπο legit: ...re τὸ ἄπο mordicus retinendum. ...d vero in libris *Scaligeri Duportique* ...ἐπάλξεων corrigatur, quasi unicum ...t verbum, næ illa correctio magnus ...onstrosus est error. Γεῖσσα autem po...tur per appositionem ad λᾶαν. Ita ...t. v. 1588. Ἡ τῶδε θριγκῷ κρᾶτα ...ρούσω σέθεν Ῥήξας παλαιὰ γεῖσσα, ...ων πόνων. *Barnes.*

...axum dicitur γεῖσσ᾽ ἐπάλξεων ἄπο, ...illud a summis propugnaculis avul...t Periclymenus, hinc refellit Valck. ...ecturam Canteri γεῖσσ᾽ ἐ. ἔπι, et con... Thucyd. 3, 22. (κατέβαλέ τις — ἀν...λαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμίδα) ... Theb. 10, 528. Lucr. 6, 240. Virg. ... 2, 445. Reisk. vult: ἁμαξοπλήθη ...πάλξ. *demittens e propugnaculis.*

Ad γεῖσσ᾽ ἐπ. ἄπο, in D. ἐξέχουσαν πέτραν ἀπὸ τῶν προμαχέων. *Beck.*

1175. Eustath. in Il. κ. p. 698, 52. εἰ λέγεται Παλύνειν καὶ τὸ μολύνειν κατὰ Ἀπίωνα, λυσιτελεῖ τοῦτο εἰς τὸ, Ξανθὸν κρᾶτα διεπάλυνε, παρ᾽ Εὐριπίδῃ. Hinc petitum διεπάλυνε Hesychio restitutum a Wessel. In Cod. MS. suprascriptum; εἰς λεπτὰ κατέθραυσεν. *Beck.*

1177. King. legebat βιὸν, *arcum*; sed Valck. putat, *vitam* hic designari, ita ut simul respexerit poëta ad *arcum*, et in ambigua vocis significatione luserit, recordatus Heracliti, qui similiter in hac voce lusit ap. Etym. M. p. 198, 24, et Eustath. ad Il. α. p. 31, 6. Figuram, quæ dicitur ex ambiguo, veteribus frequentatam esse Valck. docet, sed Heath censet, tales allusiones ab Eurip. ingenio prorsus esse alienas.

καθημάτωσε D. Paullo ante v. 1174. Brunck. exhibuit γεῖσ᾽ e membr. Similiter et v. 1196. ex iisdem scripsit γεῖσα

Ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
Ἄλλας ἐπῄει παῖς σὸς, εἱπόμην δ' ἐγώ.
Ὁρῶ δὲ Τυδέα καὶ παρασπιστὰς πυκνοὺς
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
Πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
Λιπεῖν ἐρίπνας φυγάδας· ἀλλά νιν πάλιν,

Postquam autem hanc portam vidit fortunatam,
Accessit ad reliquas filius tuus, sequebar vero ego.
Video autem Tydeum, et crebros satellites clypeatos
Ætolicis hastis in summitates
Turrium jaculantes, ut murorum
Propugnacula summa relinquerent nostri fugitivi: sed eos rursus,

P. διατριβούσῃ. Ἐπεὶ δὲ τάσδε τὰς πύλας εἶδεν εὐτυχεῖς ὁ σὸς παῖς, εἰς ἄλλας ᾔει, ἠπ[illegible] ἐπορεύετο, ἠκολούθουν δὲ ἐγώ. ὁρῶ δὲ Τυδέα καὶ πολλοὺς ὑπασπιστάς. ———

S. "* διαφόρως τάττουσιν ἐπὶ τοῦ γυνή. Γράφεται δὲ, Μαινάλου χθόνα, τουτέστι Μαιναλί[αν] "χθόνα." 1180. Ἐπῄει] Ἐπήρχετο. 1181. Παρασπιστὰς] Ἀσπιδηφόρους. Παρα-σπιστὰς πυκνοὺς] Ἀκολούθους, ὑπασπιστὰς συνεχεῖς. 1183. Ἀκοντίζοντας] † Ἀκον-τίζειν ἐστὶ τῷ ἀκοντίῳ καὶ λόγχῃ βάλλειν· εἰ οὖν καὶ μόνον ἀκοντίζειν τὸ λόγχ[ῃ] βάλλειν δηλοῖ, περισσόν ἐστι καὶ ἀδολεσχίαν ἔχει, εἴ τις εἴποι λόγχῃ ἀκοντίζειν· λόγχῃ δὲ τοιᾷδε ἀκοντίζειν εἴ τις λέγοι σὺν ἐπιθέτῳ, ἀκολούθως λέγει, καὶ οὐδεμίαν ἀδολεσχίαν ποιεῖ· τῆς μὲν γὰρ οὖν λόγχης ἐν τῷ ἀκοντίζειν παρούσης, οὐκέτι καὶ τὸ εἶδος αὐτῆς συμπαρῆν, εἴ τις ἐπάγειν αὐτὸ θέλοι, ἀνάγκην ἔχει ἐπαναλαμβάνειν τὴν λόγχην· καὶ ἐπὶ πάντων δὲ τῶν ὁμοίων τὸ τοιοῦτον ἐξ ἀνάγκης συμβαίνει. "Ἐπάλ-"ξεων Λιπεῖν ἐρίπνας] Τῶν ἐπάλξεων τὰ ἄκρα. Ἄλλως. Ἐπάλξεων ἐρίπνας, περίφρασ-"τικῶς τὰς ἐπάλξεις, καταλιπεῖν φυγάδας γενομένους. Ἐριπναὶ δὲ, αἱ ἄκραι, παρὰ τὸ μὴ

* Διαφόρως] Valck. ἀδιαφόρως τ. καὶ ἐπὶ — *Beck.*

† Hoc Schol. etiam apud Cod. D. paullo aliter. — Τὸ ἀκοντίζειν τὸ — λόγχῃ δὲ τοιᾷδε εἴ τις λέγοι σὺν ἐπιθέτῳ — τῆς μὲν οὖν λόγχης — εἴ τις οὖν ἐπάγει αὐτὸ, ἀνάγκην ἔχει — τῶν ὁμοίων τοιοῦτον ἐξ ἀνάγκης συμβαίνει. *Beck.*

τειχέων, atque hanc ostendit antiquam esse scripturam. *Beck.*

1178. Lectionem in Schol. cod. Aug. memoratam, Μαινάλου χθόνα, Valck. monet criticis deberi, qui, quod alibi nuspiam legerunt, in Eurip. corrigendum censebant. At vulgatum reperit Apollodor. Bibl. 3, p. 168.

μητρὶ Br. *Beck.*

1179. Reisk. conjicit εὐτευχεῖς, *bene armis munitas*, nihil tamen in vulgata incommodi esse ipse fatetur.

εἰσεῖδεν D. *Beck.*

1182. Αἰτωλοῖσι Ald. Αἰτωλίσιν (vel sine ν) Grot. et multi MSS. *Por.*

Αἰτωλίσιν λόγχαισιν] Ita egregium illud MS. C. C. C. quum prius obtinebat λόγχαισιν Αἰτωλοῖσι, pro quo *Duportus* legit Αἰτωλίοις, haud invidendo successu, qui sic *trochæum* in *iambico* facit carmine. *Barn.*

Jam ante Barn. Grotius receperat Αἰτωλίσιν λόγχαισιν. Leid. 1. Αἰτώλοισιν λόγχαισιν, 2. Αἰτολίσι λόγχαισιν. Nihil interest inter λόγχαισιν Αἰτωλοῖσιν et Αἰτωλίσιν λόγχαισιν, hoc tamen, quoniam istiusmodi formis delectentur Tragici, præfert Valck. Verbis ἐς ἄκρον στόμα πύργων in Leid. superscriptum εἰς τὰς ἐπάλξεις. Statius Theb. 10, 522. *pars ad fastigia missas exsultant hæsisse faces.*

αἰτωλοῖσι D. *Beck.*

Αἰτωλίσιν λόγχαισιν] Ed. Ald. Αἰτωλοῖσι λόγχαισιν, unde male, qui insecuti sunt, editores λόγχαισιν Αἰτωλοῖσιν. *Musg.*

Κυναγὸς ὡσεὶ, παῖς σὸς ἐξαθροίζεται.
Πύργοις δ' ἐπέστησ' αὖθις· εἰς δ' ἄλλας πύλας
Ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανεὺς δὲ, πῶς εἴποιμ' ἂν, ὡς ἐμαίνετο;
Μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
Ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,

Tanquam venator, filius tuus colligit.
Et rursus ad turres collocavit. Ad aliam vero portam
Festinabamus, ubi *partem* hanc laborantem liberassemus.
Quomodo autem dicam, quam Capaneus insaniverit?
Longarum enim scalarum gradus
Gestans veniebat, atque hæc superbe protulit,

γάλως καταπνέεσθαι. Ἄλλως. Ἐριπνὰς, τὰς ἀκρωρείας. Ὥστ' ἐπάλξεων] Ἡ σύνταξις οὕτως. ὥστε λιπεῖν ἡμᾶς τὰς ἐξοχὰς τῶν ἐπάλξεων, φυγάδας γενομένους." 1184. Ἀλλά νιν πάλιν] Τοὺς φυγόντας ὁ σὸς παῖς, ὡς κυνηγὸς, ἐξαθροίζει, καὶ ὁρμᾷ." Ἄλλως. Ἀλλά νιν] Τὸν λαόν. Ἄλλως. Ἐξαθροίζεται] Συνάγει πάλιν, καὶ ἐν τοῖς πύργοις ἔστησεν. Ἐξαθροίζεται] Τοὺς φυγάδας συναθροίζει καὶ συνάγει. * ἐπὶ κυνῶν θῆρας φευγόντων." 87. Ἠπειγόμεσθα] Ἐπείγω ἕτερον, ἀντὶ τοῦ παρακινῶ, καὶ ἐπισπεύδω· ἐπείγομαι δὲ, ἀμεταβάτως, ἀντὶ τοῦ σπεύδω· καὶ ἥδω ἕτερον, ποιητικῶς· ἥδομαι δὲ ἐγὼ, ἀμεταβάτως. Νοσοῦν] Τοῦτο μέρος παύσαντες δυστυχοῦν, καὶ κακῶς ἔχον, ἐσπεύδομεν εἰς ἄλλας πύλας. 88. "Καπανεὺς δὲ] Ὁ Καπανεὺς, θέλων μιμήσασθαι τὸν Δία, ἀνῆλθεν εἰς κλίμακα, ἔχων δύο λαμπάδας, τὴν μὲν μίαν Κεραυνὸν ἔλεγεν εἶναι, τὴν δὲ ἑτέραν, Ἀστραπήν· ἐπὶ τούτοις ὀργισθεὶς ὁ Ζεὺς ἐκεραύνωσεν αὐτόν." Ὡς] Πῶς. 1189. Μακραύχενος γὰρ κλίμακος] Ὑψηλῆς κλίμακος ἐπαναβάσεις, περιφραστικῶς, ἀντὶ τοῦ κλίμακα ὑψηλήν. Προσαμβάσεις] Τὰς τῆς ἀναβάσεις ὑψηλῆς κλίμακος βαστάζων, ἐπορεύετο. 1190. Καὶ τοσόνδ' ἐκόμπασε] Καὶ τοσοῦτον ἐκαυχήσατο, μηδὲ τὸ τίμιον πῦρ, ὅ ἐστιν ὁ κεραυνὸς, κωλύειν αὐτὸν τοῦ μὴ πορθεῖν τὴν πόλιν ἀπ' ἄκρων τειχῶν. "Ἄλλως. Μὴ ἀποκωλύειν αὐτὸν τὸ φοβερὸν πῦρ τοῦ Διὸς τοῦ μὴ ἐπελθεῖν τὴν πόλιν ἀπὸ ἄκρων τειχέων· τὸ δὲ πλεονάζει."

* Ἐπὶ] Valck. mavult ἀπό. *Beck.*

84. Pro φυγάδας V. D. legi voluit ...ας. At v. 711. et 1110. φύλακες ...tur ipsi λοχαγέται, hic milites po...rum gregarii, quos fugitivos collegit Jocastes. Valck. Hes. Ἐρίπνας· ...μέρη. *Beck.*

86. Valcken. comparat locum Accii ...m. ap. Nonium: *Obit nunc nostra ..., et omnis saucios convisit, ut cu... diligentius.* *Beck.*

87. Νοσοῦν] Τὸ νοσοῦν, sic supra v. Ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς etc. *Barnes.*

...γόμεσθα D. *Beck.*

88. Hic versus et 9. sequentes legun... Tzetz. ad Lycophr. 434. Quæ de ...eo posuit Eur., transtulit pleraque in Alcimedontem Quintus Calab. 11, 450, ss. Capaneus ap. Stat. Theb. 10, 834. *torvo metitur culmina visu, innumerosque gradus, gemina latus arbore clusus. Aërium sibi portat iter.* *Valck.*

1189. Προσαμβάσεις] Ita unico verbo legit *Canterus,* cui MS. favet. Vid. supra v. 499. *Barnes*

1190. τὸ σὸν δ' ἐκόμπασεν D. *Beck.* ἐκόμπασεν pro ἐκόμπασε Valck. e cod. Leid.—Imitatur hic Eurip. Æschylum Theb. 433. ss. Similia Eurip. Suppl. 500. ss. Sophocl. Antig. 129. ss. quibus nihil inest parum verisimile, sed Statius, tumidum secutus Antimachum, Theb. 10, 893. ss. modum omnem exsuperat. *Valck.*

Μηδ᾽ ἂν τὸ σεμνὸν πῦρ νιν εἰργάθειν Διὸς,
Τὸ μὴ οὐ κατ᾽ ἄκρων περγάμων ἑλεῖν πόλιν.
Καὶ ταῦθ᾽ ἅμ᾽ ἠγόρευε, καὶ πετρούμενος
Ἀνεῖρφ᾽, ὑπ᾽ αὐτὴν ἀσπίδ᾽ εἱλίξας δέμας,
Κλίμακος ἀμείβων ξέστ᾽ ἐνηλάτων βάθρα.
Ἤδη δ᾽ ὑπερβαίνοντα γεῖσα τειχέων

Ne sacrum quidem ignem ipsum Jovis prohibiturum,
Quominus a summis arcibus capiat urbem.
Et hæc simul dixit, et quamvis saxis peteretur
Ascendebat *tamen*, sub ipsum clypeum contracto corpore,
Scalæ politos gradus transtillorum percurrens.
At jam transcendentem pinnas murorum

S. Ἐκόμπασε] Μετ᾽ ἐπάρσεως εἶπεν, ἐκαυχήσατο. 1191. Εἰργάθειν] Εἴργω κοινὸν, εἰργάθω * ποιητικόν. 1192. Τὸ μὴ οὐ] Τὸ μὴ καὶ τὸ οὐ ἐκ παραλλήλου. Κατ᾽ ἄκρων] Ἡ κατὰ πρὸς τὸ ἑλεῖν, περγάμων δὲ, τῶν τειχῶν. εἰς τὸ μὴ καθελεῖν τὴν πόλιν, τὸ γὰρ οὐ πλεονάζει. Κατ᾽ ἄκρων περγάμων] Ἤγουν τῆς ἀκροπόλεως. τὸ παρὰ τῷ πεζῷ λόγῳ Κατάκρας. 1194. Ὑπ᾽ αὐτὴν ἀσπίδ᾽] Ἐναργῶς ἔδειξε τοῦτον ὑπὸ τῇ ἀσπίδι κεκαλυμμένον, καὶ βαλλόμενον ἄνωθεν, ὡς τὸ, "Ἀσπίδι ταυρείῃ κεκαλυμμένος." Il. π. 360. 1195. Κλίμακος ἀμείβων ξέστ᾽ ἐνηλάτων βάθρα] Ἀμείβων, ἤγουν διερχόμενος, τὰ ξεστὰ βάθρα, ἤγουν τὰς ξυστὰς βαθμίδας τῶν ἐνηλάτων τῆς κλίμακος, τουτέστι τῶν ὀρθῶν ξύλων, ἐφ᾽ αἷς πεπήγασιν αἱ βαθμίδες. Ἐνηλάτων βάθρα] Περιφραστικῶς τὰ ἐνήλατα, ὅπου ἐπιβαίνομεν, ἢ τὰς βάσεις τῶν ἐνηλάτων τῆς κλίμακος. Ἄλλως. Ἐνήλατα εἰσὶ τὰ ὀρθὰ ξύλα, ἔνθα πήγνυται καὶ † ἐλαύνεται τὰ βάθρα τῆς κλίμακος. "Βάθρα] Ἀντὶ τοῦ εἰς ὕψος. Ἄλλως. "Βάθρων, τῶν θεμελίων, καὶ τῶν βάσεων. ‡ Τινὲς δὲ φασὶ τὰς εὐδόμους πύλας τῆς Βοιωτίας καλεῖσθαι ἀπὸ Βοιωτοῦ, τοῦ Ποσειδῶνος καὶ τῆς σοφῆς Μελανίππης, ἀφ᾽ οὗ πᾶσα "ἡ Βοιωτία ἐκλήθη." 1199. Ἐσφενδονᾶτο] Ὡς ἀπὸ σφενδόνης ἐχωρίζετο τὰ μέλη αὐτοῦ ἀπ᾽ ἀλλήλων. 1201. Κῶλα] Τὰ ἄκρα ποδῶν. Ὡς κύκλωμ᾽ Ἰξίονος] Ὡς ὁ τροχὸς τοῦ Ἰξίονος, περὶ ὃν ἀεὶ στρέφεται. οὗτος γὰρ ὁ Ἰξίων, διὰ τὸ ἐρασθῆναι Ἥρας, ταύτην κατεδικάσθη τὴν τιμωρίαν ἐν Ἅιδου. Ἄλλως. "Ὁ Ἰξίων φόνον δράσας ὑπὸ τοῦ Διὸς ἀνηνέχθη

* Ἀττικόν vult Valck. *Beck.*

† Pro ἐλαύνεται τὰ βάθρα Valck. scribi vult. ἐμβάλλεται τ. β. *Beck.*

‡ Τινὲς δὲ φασὶ, τὰς εὐδόμους πύλας τῆς Βοιωτίας] Hæc forte ad v. 1173. referenda, monente Valck. Beck.

1192. Τὸ μὴ οὐ] Μὴ et οὐ quasi coalescunt μονοσυλλάβως. Vid. Notas ad *Orest.* v. 590. Πέργαμα autem in plurali appellative pro *Arcibus*, vel *Muris*; Πέργαμος autem ἡ in singulari, pro *Troja* plerumque sumitur; est etiam quando pro *urbe* in genere. *Latine* autem utrumque *Trojam* sonat. De hac re vid. quæ nos ad *Iphig.* Aul. 778. *Barnes.*

κατ᾽ ἄκρων, i. q. alias κατάκρας, vel κατ᾽ ἄκρης, *vi.* v. Valck.

οὐ post μὴ deest in D. *Beck.*

1193. Formulam ἅμ᾽ ἠγόρευε καὶ — *simulac ista diceret* — Euripidi usitatam illustrat Valck *Beck.*

1194. Qui hæc expresserunt, Statium Theb. 10, 843. 855. Quint. Cal. 11, 452. laudat Valcken. confert etiam Virg. Æn. 2. 442. Idem monet, verbis ὑπ᾽ αὐτὴν ἀσπίδ᾽ εἱλίξας δέμας respici echinum spinis sese suis involventem in formam pilæ, de quo verba εἱλίξας δέμας adhibuerit Ion. Tragicus ap. Zenob. Cent. 5. Pr. 68. *Beck.*

1195. Κλίμακος ἀμείβων ξέστ᾽ ἐνηλάτων βάθρα] Præter quod *Scholiastes* ad hanc vocem profert, hæc *Eustathius* de hoc ipso loco—fol. 598. lin. 29. λέγεται δὲ παρὰ τῷ αὐτῷ Ποιητῇ (de *Euripide* loquitur) οὕτω καθ᾽ ὁμωνυμίαν, καὶ κλιμάκων ἐνη-

Βάλλει κεραυνῷ Ζεύς νιν· ἐκτύπησε δὲ
Χθὼν, ὥστε δεῖσαι πάντας· ἐκ δὲ κλιμάκων
Ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη,
Κόμαι μὲν εἰς Ὄλυμπον, αἷμα δ᾽ εἰς χθόνα,
Χεῖρες δὲ καὶ κῶλ᾽, ὡς κύκλωμ᾽ Ἰξίονος,
Εἱλίσσετ᾽· εἰς γῆν δ᾽ ἔμπυρος πίπτει νεκρός.

Ferit eum fulmine Jupiter. Strepitum autem edidit
Terra, ut omnes metuerent: at e scalis
Ut-funda-disjiciebantur seorsim alia ab aliis *ejus* membra:
Comæ quidem cœlum versus, sanguis vero in terram;
Manus vero et pedes, ut rota Ixionis,
Volvebantur: ignitum vero in terram cadit cadaver.

* ὑπ᾽ οὐρανὸν, καὶ μετὰ τὸ καθαρθῆναι ὕβρισε τὴν τοῦ Διὸς φιλίαν· ἐπεθύμησε γὰρ τῆς Ἥρας, καὶ λόγους ἐπήγαγεν αὐτῇ· ἡ δὲ θεὰ νεφέλην αὐτῷ παρεκοίμισεν, εἰς ἑαυτὴν σχηματίζουσα· ᾗ δὴ συγκαθευδήσας ὁ Ἰξίων ἐπεκαυχήσατο τῇ συνουσίᾳ. καὶ Ζεὺς ἀγανακτήσας ἐταρτάρωσεν αὐτὸν, καὶ τροχῷ προσέστησεν. Ἄλλως. † Ὁ Ἰξίων τροχῷ κατακριθεὶς τὴν τιμωρίαν ἔχει· ἀναβιβάζει γὰρ τὸν τροχὸν ἐν τόπῳ ὑψηλῷ. οὗτος δὲ πάλιν κατέρχεται. Ἄλλως. Ὁ Ἰξίων Λαπίθης ἦν τὸ γένος, ἠγάγετο δὲ Δίαν τὴν Ἠϊονέως θυγατέρα, τὸν δὲ πενθερὸν αὐτοῦ ἐλθόντα ἐπὶ τὰ ἕδνα συνεσκευάσατο, ‡ ὄρυγμα ποιήσας ἐν τῇ οἰκίᾳ, καὶ γεμίσας πυρὸς, ἐκεῖ τὸν Ἠϊονέα ἐνέβαλεν. ἐφ᾽ ᾧ ὁ θεὸς ἠγανάκτησεν. ὁ δὲ Ζεὺς ἐλεήσας αὖ τὸν Ἰξίονα, καὶ βῶν αὐτὸν ἐν τῷ ἰδίῳ ἱερῷ ἀφῆκε, μεταδιδοὺς αὐτῷ καὶ τῆς ἀθανασίας· ὃς ἀπολασταίνων ἰδὼν τὴν Ἥραν ἠράσθη αὐτῆς· μὴ φέρουσα δὲ ἡ Ἥρα τὴν μανίαν αὐτοῦ φησὶ τῷ Διῒ, ἐφ᾽ ᾧ ἀγανακτήσας ὁ Ζεὺς, βουλόμενος δὲ δοκιμάσαι, εἴγε ἀληθές ἐστι, ἀπείκασε τῇ Ἥρᾳ νεφέλην, ἣν ἰδὼν ὁ Ἰξίων νομίσας τὴν Ἥραν εἶναι, μίγνυται αὐτῇ, καὶ ποιεῖ παῖδα διφυῆ, τὰ μὲν ἀνθρώπου ἔχοντα, τὰ δὲ ἵππου· ἀφ᾽ οὗ καὶ οἱ

* Ὑπ᾽ οὐρανὸν] Εἰς οὐρ. conjicit Valck. Mox pro προσέστησεν, προσέδησεν, vel προσέπηξεν, emendat idem. *Beck.*

† Ὁ Ἰξίων] Sequentia sunt ex Pherecyde hausta, v. quos laudat Valck. *Beck.*

‡ Ὄρυγμα ποιήσας] Scribendum ὄρυγμα γὰρ ποιήσας e Schol. Luc. T. I. p. 216. Valck. Mox ἐφ᾽ ᾧ ὁ θεὸς ἠγανάκτησεν] E Schol. Luciani restitui potest: ἐφ᾽ ᾧ οἱ θεοὶ ἀγανακτήσαντες ἔμελλον αὐτὸν τιμωρεῖν. ὁ δὲ Ζεὺς ἐλεήσας αὖ τὸν Ἰξίονα καὶ βῶν αὐτὸν] Legendum καὶ καθαίρων αὐτον. v. Schol. Apoll. Rh. 3, 62. et Schol. Pindar. Pyth. 2, 40. In Schol. Luc. est, καὶ λαβών. *Valck.*

-

ι, τὰ τῶν βαθμίδων ἄκρα, ὡς ἐνειρόμενα μηροῖς τῶν κλιμάκων etc. idem fere 782. lin. 28. Ἐνήλατος autem *impac-* ad verbum sonat. Fiunt autem et ... e teretibus lignis, perticas vocant, ...ibus interpositis, et e funibus canabi- ...portatiles. Utuntur his milites etiam ...ppugnationibus urbium, ut scandentes ...os introire possint. Tales, ut est ...d *Vitruvium, Capaneus* excogitavit. ...*ciscus Grapaldus* de Partibus Ædi- ...l. 1. Ex *Stiblino* Grapaldum citavi- ...t. *Barnes.*

...on huc respicit Eustathius Barnesio ...latus, sed Suppl. 731. Hipp. 1230.

Vocem ἐνήλατα a Phrynicho damnatam adhibuit etiam Sophocles. v. Valck. *Beck.*

1196. Pro γεῖσσα cod. Flor. σῖγα, perperam; nam Capaneus κομπάζων, non tacite, muros adscendebat. Expresserunt hæc Stat. Theb. 10, 864. Q. Calab. 11, 458. *Valck.*

1200. ἐς οὔλυμπον D. *Beck.*

Stat. Theb. 10, 922. *Talia dicentem toto Jove fulmen adactum corripuit; primæ fugere in nubila cristæ.* cf. Quint. Smyrn. 11, 468. *Valck.*

1202. εἰς τήνδ᾽ Ald. et Chori personam omittit 1215. *Por.*

Soph. Antig. 136. et Æsch. Theb. 438.

Ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
Ἔξω τάφρου καθεῖσεν Ἀργείων στρατόν.
Οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
Ἰδόντες, ἐξήλαυνον ἁρμάτων ὄχους
Ἱππεῖς, ὁπλῖται, κεἰς μέσ' Ἀργείων ὅπλα
Ξυνῆψαν ἔγχη· πάντα δ' ἦν ὁμοῦ κακά·
Ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο·

Postquam autem vidit Adrastus Jovem inimicum exercitui,
Extra fossam reduxit Argivum exercitum.
Nostro vero vicissim dextrum Jovis signum
Videntes, procurrerunt, curruum vehicula,
Equites, graviter armati, et in media Argivorum arma
Ruentes commiserunt hastas. Omnia autem mala simul erant;
Moriebantur, cadebant ex suis curribus;

P. νεκροὶ δὲ νεκροῖς ἐσωρεύοντο, ἤγουν σωρηδὸν ἐπέπιπτον. τὰς μὲν οὖν κατασκαφὰς τῶν πύργων τῆς γῆς, ἀντὶ τοῦ τὴν καταστροφὴν, ἐπέσχομεν μέχρι τῆς παρούσης ἡμέρας. εἰ δὲ εὐτυχὴς ἔσται κατὰ τὸ ἐπίλοιπον, ἤγουν τὸ ἔμπροσθεν, ἥδε γῆ, τοῖς θεοῖς διὰ φροντίδος ἐστί.

S. "λοιποὶ * Κένταυροι γεγόνασιν. ὀργισθεὶς δὲ ὁ Ζεὺς ὑποπτέρῳ τροχῷ τὸν Ἰξίονα † δήσας "ἀφῆκε τῷ ἀέρι φέρεσθαι μαστιζόμενον καὶ λέγοντα· Χρὴ τιμᾷν τοὺς εὐεργέτας. Οἱ "δὲ, ὅτι ἐταρτάρωσεν αὐτόν· Οἱ δὲ, ὅτι καὶ πύρινος ἦν τροχὸς, φασίν." Ἰξίονος] Οὗτος ὁ Ἰξίων, ὁμοδίαιτος ὢν τῷ Διῒ, ἐφωράθη τῆς Ἥρας ἐρῶν· θέλων οὖν ὁ Ζεὺς γνῶναι τὸν ἔρωτα, νεφέλην παρεικάζει τῇ Ἥρᾳ, εἰς ἣν ὁρμήσας ὁ Ἰξίων, δῆλον ἐποίησε τῷ Διῒ τὸν ἔρωτα· ὃς ὀργισθεὶς, δήσας αὐτὸν ἐν ταχυτάτῳ τροχῷ ἀφῆκεν ἐν ἀέρι περιελίσσεσθαι, καὶ δίκην οὕτω τίνειν τῆς ἀκολάστου γνώμης, βοῶντα, ὡς χρὴ τοὺς εὐεργέτας τιμᾷν. ἐκ δὲ τῆς πρὸς τὴν νεφέλην τοῦ Ἰξίονος μίξεως γέγονεν ὁ Ἱπποκένταυρος, κεφαλὴν μὲν, καὶ στῆθος καὶ χεῖρας ἀνθρώπου ἔχων, τὸ δὲ λοιπὸν σῶμα ἵππου, ὅν τις ἰδὼν τὴν ἀρχὴν, οὕτως ἀτοπώτατον θέαμα, εἶπεν· ‡ Ἀνὴρ ἀποπέρδεται ἵππον, ἵππος δ' ἀπερεύγεται ἄνδρα. 1202. Ἔμπυρα]

* Κένταυροι] Rectius Schol. Luc. Ἱπποκένταυροι, auctore Valck. *Beck.*
† Δήσας ἀφῆκε τῷ ἀέρι] Scribendum ἐν τῷ ἀέρι, vel δι' ἀέρος. *Valck.*
‡ Ἀνὴρ ἀποπέρδεται ἵππον, ἵππος δ' ἀπερεύγεται ἄνδρα] Alibi ita scriptum legitur: Ἵππος ἐρεύγεται ἄνδρα, βροτὸς δ' ἀποπέρδεται ἵππον. v. Valck. *Beck.*

comparavit Valck. Pro Ἐλίσσετ' Heath. vult Εἱλίσσετ'.

εἱλίσσετ' Brunck. edidit e membr. *Beck.*

1204. Quia στρατῷ modo præcesserat, Ἀργείων ὅπλα, quod tamen mox recurrit 1207. mavult Brunckius. *Por.*

Positum in fine præcedentis versus στρατῷ corruptelæ suspicionem movet; alterutrum interpolatorem redolet. Verisimile non est, duos continuos versus poëtam eadem voce conclusisse, cujus rei exemplorum, quæ proferri possent, pleraque a librariis mendam contraxerunt. Cogitet eruditus lector, an reponi placeat ἔξω τάφρου καθεῖσεν Ἀργείων ὅπλα. Hoc sane malim; sed sine auctoritate mutare religio fuit. *Brunck.*

1205. Heath. legi jubet Οἱ δ'—Mox Valck. mavult παρ' ἡμῖν, *Cum vero nostri viderent dextrum nobis Jovis favere fulgorem.* Nam οἱ δ' αὖ dicitur opposite ad Adrastum et Argivos: *Hi contra,* h. e. Nostri. παρ' ἡμῖν sæpe dicitur, cum apud nos aliquid fausti et læti est. v. Valcken. *Beck.*

1206. Musgravii conjecturam ὄχοι secutus est Brunckius. *Por.*

Τροχοί τ' ἐπήδων, ἄξονές τ' ἐπ' ἄξοσι·
Νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
Πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
Εἰς τὴν παροῦσαν ἡμέραν· εἰ δ' εὐτυχὴς
Ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει.
ΧΟ. Καλὸν τὸ νικᾶν· εἰ δ' ἀμείνον' οἱ θεοὶ
Γνώμην ἔχουσιν, εὐτυχὴς εἴην ἐγώ.

Rotæque saltabant, axesque super axes;
Et cadavera cadaveribus cumulabantur simul.
Prohibuimus igitur eversionem turrium terræ hujus
Hodie, an vero felix
Futura sit in posterum hæc urbs, Diis hoc erit curæ.
Cho. Pulchrum est vincere: si vero dii melius
Habuerint consilium, ego felix essem.

O. Καλὸν τὸ νικᾶν ἐστιν, εἰ δὲ καὶ βέλτιον τοῦ νικᾶν ἡμᾶς βουλεύονται οἱ θεοί, εὐτυχοίην λέγει δὲ τὸ φιλίαν ἐμβαλεῖν τοῖς ἀδελφοῖς. ΙΟΚ. Καλῶς ἡμῖν ἔχει ἡ τῶν θεῶν γνώμη, μαυμένος. 1204. Καθεῖσεν] Καθεσθῆναι ἐποίησεν ἔξω * τῆς σούδας. 1206. Ἁρμάτων ως] Τὰ ἅρματα, περιφραστικῶς. 1207. Κεὶς μέσ'] Ἐν μέσῃ τῇ παρατάξει. 1208. ν-ψαν ἔγχη] Συνεκρότησαν τὴν μάχην 1209. Ἀντύγων ἄπο] Ἄντυξ ἡ περιφέρεια τοῦ ματος, ἐνταῦθα ἀντύγων ἄπο, ἀντὶ τοῦ ἀπὸ ἁρμάτων. ἄντυξ ἡ περιφέρεια τοῦ ἅρματος, αῦθα δὲ ἀντύγων ἁπλῶς ἀντὶ τοῦ τῶν ἁρμάτων. Cod. D. 1210. Ἄξονές τ' ἐπ' ἄξοσι] ιρὰ τῷ Αἰσχύλῳ ἐν Γλαύκῳ Ποτνιεῖ, † "Ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρὸς, ποι δι' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένα." 1211. "Ἐξεσωρεύονθ' ὁμοῦ] Νεκροὶ ἐπὶ νεκροῖς ἐσωρεύοντο. περισσὴ δὲ ἡ ἐξ. σωρηδὸν ἐπ' ἀλλήλων ἔκειντο, ἀνεμίγνυντο, ἀλλεπάλληλοι ἔπιπτον." 1212. Ἔσχομεν κατασκαφὰς] Τοὺς θεμελίους τῶν πύργων κατασκαφῆναι κωλύσαμεν. 1214. Θεοῖς μέλει] Τοῖς θεοῖς φροντίς ἐστι. 1215. "Εἰ δ' ἀμείνον' οἱ θεοὶ] Εἰ οἱ θεοὶ τὰ δίκαια κρίνουσι, πάντως ἡττηθήσονται οἱ Θηβαῖοι· ἐγὼ οὖν ὁ χορὸς σωθείην, διαφύγοιμι." Εἰ δ' ἀμείνονα] Τινὲς ἀντὶ τοῦ δικαίαν. ὁ δὲ νοῦς· Ἐγένετο μὲν

* Τῆς σούδας] De hoc verbo vid. supra ad v. 1116. *Beck.*

† Priorem versum ridet Aristoph. Ran. 1450. in altero pro ἐκπεφευγμένοι M. de conjectura Valck. dedit, ἐμπεφυρμένοι. *Beck.*

ιόντες D. Mox ἁρμάτων ὄχοι cum ιgr. rescripsit Brunck. *Beck.*

μάτων ὄχους] Legendum arbitror, l multo sane elegantius esset, ἁρμάτων *Musg.*

207. ὁπλῖταί τ' εἰς Scal. *Por.*

eisk. Ἱππεῖς ὁπλῖταί τ' εἰς. *Beck.*

210. τροχοὶ δ' M. *Por.*

ξονες ἐπ' ἄξοσι—] Similes huic locutio- attulit Valck. *Beck.*

212. ἔσχομεν] Gl. Cod. D. ἐπέσχομεν, ἐκωλύσαμεν. *Beck.*

214. Post hunc versum addit Scaliger, MS. proculdubio: καὶ νῦν γὰρ αὐτὸν (l. ν) δαιμόνων ἔσωσέ τις. *Por.*

Post hunc versum addunt MSS. nonnulli:

καὶ νῦν γὰρ αὐτὴν δαιμόνων ἔσωσέ τις. *Musg.*

1215. ἀμεῖνον D. *Beck.*

1216. Codd. Leidd. γνώμην ἔχουσιν, quod Valck. non plane respuit.

Γνώμην ἔχουσιν D. atque sic e membr. etiam Brunck. V. C. edidit. Sed idem mox monet legendum esse: εὐτ. εἴην ἂν ἐγὼ, hoc sensu: siquidem di meliorem habent sententiam, felix ego essem, i. εἴην ἐγὼ foret, *utinam felix sim.* Optativus enim sensu potentiali sumtus semper par-

ΙΟ. Καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει·
Παῖδές τε γάρ μοι ζῶσι, κἀκπέφευγε γῆ·
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων,
Τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
Παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς,
Ἰδίᾳ δὲ λυπρῶς· ἀλλ' ἄνελθέ μοι πάλιν,
Τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον;
ΑΓ. Ἔα τὰ λοιπὰ, δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.

Joc. Pulchre habent quæ sunt deorum et fortunæ:
Filii enim sunt salvi, et civitas evasit periculum:
Creon vero videtur mearum nuptiarum,
Et horum malorum Œdipi pœnas luere infelix,
Filio privatus: urbi quidem feliciter,
Privatim vero acerbe: sed narrato mihi deinceps,
Quid post hæc filii mei facere statuerint?
Nun. Omitte reliqua; semper enim huc usque es fortunata.

P. καὶ ἡ τῆς τύχης, παῖδες τε γάρ μοι ζῶσι, καὶ πέφυγε τὸν κίνδυνον ἡ γῆ. Κρέων δὲ φαίνεται τῶν ἑπομένων κακῶν τοῖς ἐμοῖς νυμφεύμασι, τῶν τε Οἰδίπου δύστηνος ἀπολαῦσαι παρανομιῶν, παιδὸς τοῦ οἰκείου στερηθείς· ὅσον μὲν τὸ πρὸς τὴν πόλιν εὐτυχῶς, τὸ εἰς ἑαυτὸν δὲ ἀλγεινῶς. ὡς ἐξ ἄλλης ἀρχῆς διήγησαί μοι τί κατὰ τὸ μετὰ ταῦτα οἱ παῖδες οἱ ἐμοὶ μέλλουσι δρᾶσαι. ΑΓΓ. Μὴ περαιτέρω πύθῃ, ἕως γὰρ τοῦ δεῦρο εὐτυχεῖς. ΙΟΚ. Τοῦτο εἰς

S. ...κρῶν τοὺς Θηβαίους· εἰ δὲ οἱ θεοὶ τὰ δίκαια κρίνουσιν, καὶ συμβῇ ἀπολέσθαι τοὺς Θηβαίους, ἀλλ' οὖν ἐγὼ διαφύγοιμι. 1217. Ἔχει] Διάκειται. 1222. Ἀλλ' ἄνελθέ μοι] Ἀνάδραμε, διήγησαι. 1223. Δρασείετον] Ἐπιθυμοῦσι δρᾶσαι, παρασκευάζονται. 1224. Δεῦρ' ἀεὶ] Ἀντὶ τοῦ μέχρι τοῦ νῦν, ἕως τούτου. Ἐπειδὴ δὲ εἶπεν, ἔα τὰ λοιπὰ, εἰ καλῶς πράσσεις, εἶπεν, ὅτι εἰς ὑποψίαν εἶπας. Ἀεὶ] Τὸ ἀεὶ ἀντὶ τοῦ ἕως. Cod. D. 1228. Ὑπασ-

ticulam ἂν habet comitem. cf. Brunck. ad Æsch. Prom. 1065. *Beck.*

1217. ἔχοιεν sine sensu Ald. ἔχουσιν MSS. fere omnes. *Por.*

1218. κἀπέφευγε Ald. M. R. καὶ πέφευγε King. ex MSS. certe: sic enim C. D. L. Leid. pr. κἀκπέφευγε Grot. Cant. J. K. Flor. Leid. sec. *Por.*

καὶ πέφευγε γῆ D. *Beck.*

κἀκπέφευγε] Ita recte Grotius et post eum Valckenærius ex Flor. et Leidensium uno. Ed. Ald. κἀπέφευγε. Kingius, καὶ πέφευγε. *Musg.*

Leid. 1. καὶ πέφευγε, sed suprascriptum ἐκ, additum præterea velut interpretamentum τὸν κίνδυνον. *Valck*

1219. μνηστευμάτων Cant. *Por.*

1223. δρασείειν illustravit Dawes. M. Crit. p. 263. et similia desiderativa in είω Valck. ad h. l. *Beck.*

1224. Locis ad Orest. 1680. citatis adde Platonem Politico p. 177, 1. Ald. 130, 21. Bas. 292. C. HSt, 551. B. Frft. 184. E. Læmar. Aristidem III. p. 723. ed. Canter. II. p. 420. Jebb. *Por.*

δεῦρ' ἀεὶ pro ἕως τοῦ δεῦρο frequentat Euripides. v. Valcken. *Beck.*

1226. ἢ παῖδας Ald. Grotius cum MSS. plurimis παῖδας ἤ. *Por.*

Olim ἢ παῖδας. Canteri παῖδας ἢ post Grot. recepit Valck. e. Codd. Flor. et Leidd. *Beck.*

1227. καὶ τὰ 'πίλοιπ' ἄγ' εἰ — D. *Beck.*

1230. κοὐκ ἄν γε Ald. Copulam, MSS. auctoribus, ejecit Kingius, οὐκ ἄν σε L. M. R. quod defendi posset, accipiendo σε pro σοι, quod factum videtur Iph. A. 814. (neque enim diphthongus ante brevem vocalem elidi potest.) οὐκ ἂν sine γε D.

ΙΟ. Τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.
ΑΓ. Μεῖζόν τι χρῄζεις, παῖδας ἢ σεσωσμένους;
ΙΟ. Καὶ τἀπίλοιπά γ' εἰ καλῶς πράσσω, κλύειν.
ΑΓ. Μέθες μ'· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
ΙΟ. Κακόν τι κεύθεις, καὶ στέγεις ὑπὸ σκότῳ.
ΑΓ. Οὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.
ΙΟ. Ἢν μή με φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.
ΑΓ. Αἶ αἶ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου

Joc. Hoc dixisti suspiciose; non est omittendum.
Nun. Quid vis majus habere, quam filios salvos?
Joc. An et in posterum prorsus sim futura felix audire *volo.*
Nun. Dimitte me: filius tuus est armigero destitutus.
Joc. Aliquod malum occultas, et involvis tenebris.
Nun. Nequaquam dicam post bona tua, mala.
Joc. Nisi forte fugiens evaseris in aërem.
Nun. Heu, heu! quare me non sinis post lætum

…νοιαν κακοῦ εἶπας, οὐκ ἐατέον. ΑΓΓ. Μεῖζον ἄλλο θέλεις μαθεῖν ἢ τοὺς σοὺς παῖδας …φυλαγμένους; χρῄζω ἀκούειν εἰ καλῶς πράσσω, ἤγουν εὐτυχῶ, καὶ κατὰ τὰ ἐπίλοιπα, …ων τὰ ἔμπροσθεν. ἔασόν με ἀπελθεῖν, ἔρημός ἐστιν ὁ παῖς σοῦ ὑπασπιστοῦ, ἤγουν μεμονω…μένος. κακόν τι κρύπτεις, καὶ φέρεις ὑπὸ ἀφανείᾳ. πρὸς οἷς ἔλεξα ἀγαθοῖς, οὐκ ἂν παραγ…γείλαιμι τὰ κακά. λέξεις, ἐάν γε μὴ φεύγων ἐκφύγῃς, ἤγουν τὴν φυγὴν ἀνύσῃς πρὸς αἰθέρα.

…ιστοῦ] Ἀντὶ τοῦ ἀσπιδηφόρου. ἔρημος καὶ μεμονωμένος ἐστὶν ἐμοῦ τοῦ ὑπασπιστοῦ …σὸς παῖς. 1229. Καὶ στέγεις ὑπὸ σκότῳ] Καὶ καλύπτεις ἐν ἀφανείᾳ. 1230. Οὐκ … γε λέξαιμ'] Οὐκ ἔστι δυνατὸν ἵνα εἴπω ἐφ' οἷς ἤκουσας ἀγαθοῖς κακά· ἤγουν ἀγα…ὰ εἰπὼν οὐκ ἔχω προσθεῖναι κακά. 1231. Εἰ μή γε, φεύγων] Λέξεις δηλονότι.

…ses etiam legere, nisi paullo longius a …gata abiret, οὐκ ἄν τι — κακόν. *Por.*
…alcken. monet, litteram superfluam in … ex initio versus præced. fluxisse. Pro … Reisk. vult σοί.
…ὐκ ἂν λέξαιμ' ἐπ' ἀγ. — D. Brunck. …dit: οὐκ ἄν γε λέξ. *Beck.*
…ὐκ] Ita Kingius, cum uno Leidensium. … Ald. κοὐκ, quod nollem hic repetitum. *Musg.*
…231. εἰ Ald. ἢν cum codicibus pleris… Valckenærius. Edidi etiam με pro … cum Musgravio e Cant. M. R. Scal. …anckii membr. lib. P. Aristoph. A…rn. 178. Δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν …αρτίας. Nub. 167. Ἦ ῥαδίως φεύγων ἂν …φύγοι δίκην. Herodot. IV. 23. ὃς ἂν …γων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδένος ἀ…ικται. Sic. Arch. merito probante …lckenærio. Commodum advocat Wesselingius V. 95. Homer. Il. Ξ. 81. Xen. Anab. II. p. 169, 19. τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι. In his locis simplici verbo conatus, composito effectus indicatur. *Por.*

Eandem sententiam expressit Herodot. 4, 132. (Ἢν μὴ ὄρνιθες γενόμενοι ἀναπτῆσθε ἐς τὸν οὐρανὸν — οὐκ ἀπονοστήσετε ὀπίσω.) et alii, quos laudat Valck. cf. Id. ad Herodot. l. l. p. 338.

ἢν μή γε φεύγων — D. atque sic e membr. etiam scripsit Brunck., qui monet εἰ non cum subjunctivo construi, itaque ἢν vel sine codd. reponendum fuisse. *Beck.*

ἢν μή με] Ita Lib. P. Ed. Ald. εἰ μή γε. Sed ἢν pro εἰ habent MSS. Bodl. et Leid. *Musg.*

1232. Imitatur Æsch. Agam. 645.—

Φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
Τὼ παῖδε τὼ σὼ μέλλετον τολμήματα
Αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
Λέξαντες Ἀργείοισι Καδμείοισί τε
Εἰς κοινὸν, οἷον μήποτ' ὤφελον, λόγον.
Ἐτεοκλέης δ' ὑπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
Πύργου, κελεύσας σῖγα κηρύξαι στρατῷ.

Nuncium abire, sed vis me dicere mala?
Filii tui agitant facinora
Turpissima, singulari-pugna cernere separatim ab omni acie.
Etenim dixerunt Argivis et Thebanis
Palam, quæ nunquam dicere debebant.
Eteoclesque stans ex celsa prior incœpit
Turri, jubens indicere silentium exercitui:

P. διατί μετὰ τὴν εὐάγγελον ἀγγελίαν οὐκ ἀφῆκας ἐμὲ ἀπελθεῖν, ἀλλ' ἀναγκάζεις μηνῦσαι τα κακά; τὼ παῖδε τὼ σὼ φροντίζουσι τολμᾷν ἀπρεπέστατα τολμήματα, λέγω μονομαχεῖν ἰδίᾳ παντὸς τοῦ στρατοῦ, λέξαντες εἰς μέσον τῶν Ἀργείων καὶ Καδμείων λόγον τοιοῦτον, ὁποῖον μὴ ὤφελον εἰπεῖν· ὁ Ἐτεοκλῆς δὲ ἤρξατο τοῦ λόγου ἀφ' ὑψηλοῦ πύργου στὰς, κελεύ-

S. 1238. Οἷον μή ποτ' ὤφελον] Οἷον λόγον μή ποτε ὤφελον, ἐκεῖνοι δηλονότι, εἰπεῖν. 1239. "Ὑπῆρξ' ἀπ' ὀρθίου] Προήρξατο, κατήρξατο· Ὀρθίου δὲ, ὑψηλοῦ· ἀρχηγὸς ἐγένετο, κελεύ- "σας κηρύξαι στρατηλάταις." 1240. Ὦ γῆς Ἑλλάδος] Ὁμηρικῶς ἤρξατο, "Κέκλυτέ "μευ Τρῶες, καὶ ἐϋκνήμιδες Ἀχαιοί." Il. γ. 456. * οὗτος δὲ ὁ στίχος ἐν πολλοῖς ἀντι-

* Οὗτός ὁ στίχος—] Hæc forte ad vers. præced. 1239. pertinere censet Valck.

Scholiastæ supplemento ad μηνῦσαι non indigemus, sed repeti potest ἐᾷς Valcken. *Beck.*

1234. μέλλετον simpliciter positum nunquam significare potest agitant, sed repeti debet τολμᾷν, vel conjungendum hoc verbum cum μονομαχεῖν. Valck. Abresch. ad Æsch. T. I. p. 243. putat, μέλλετον adhibitum esse ob metrum. *Beck.*

1235. μοναχεῖν D. qui error monacho librario facile concedendus. *Beck.*

1236. λέξαντας D. *Beck.*

1238. Ἐτεοκλῆς προὐπῆρξ' edd. Ald. Grot. Musgr. sed Ἐτεοκλέης, quod metrum postulat, habent C. Cant. K. M. R. et procul dubio alii. Deinde προὐπῆρξ' non admittit crasin, ut putasse videtur Aldus, sed anapæstum facit; neque hoc compositum credo ista ætate exstitisse, certe apud Atticos poëtas nunquam exstat. Legendum igitur cum plerisque MSS. δ' ὑπῆρξ', quod primus restituit Valckenærius. Pro ἀπ' quidam codices ἐπ', sed vulgatum melius. *Por.*

δ' ὑπῆρξ' recepit Valck., quoniam in omnibus fuit Codd. et est Euripideum. Mox uterque Leid. ἐπ' ὀρθίου σταθεὶς, et in Leid. 2. hoc scholion: ἤρξατο τοῦ λόγου, ἐφ' ὑψηλοῦ στάς. Hoc tamen noluit V. substituere vulgatæ, quam secutum esse putat Statium Th. 7, 374. *Rector* ab aggere *cœpit* etc. Hes. Ἀπ' ὀρθίου· ἐπὶ (Kust. ἀπὸ) ὑψηλοῦ.

Ἐτεοκλέης δ' ὑπῆρξ' ἐπ' D. atque ita etiam e membr. scripsit Brunck.

Pro ἀπ' ὀρθίου in D. ἐπ' ὀρθίου. *Beck.*

προὐπῆρξ'] MSS. fere omnes δ' ὑπῆρξ'. Mihi δ' sententiam enervare videbatur. *Musg.*

1240. Quod Schol. dicit, hunc versum in quibusdam exemplaribus non esse lectum, pertinere potius ad præced. putat Valck. Hunc tamen designari, docet Schol. cod. Aug. Ipsi vero V. uterque

Ἔλεξε δ', ὦ γῆς Ἑλλάδος στρατηλάται,
Δαναῶν τ' ἀριστεῖς, οἵπερ ἤλθετ' ἐνθάδε,
Κάδμου τε λαὸς, μήτε Πολυνείκους χάριν
Ψυχὰς ἀπεμπολᾶτε, μήθ' ἡμῶν ὕπερ.
Ἐγὼ γὰρ αὐτὸς, τόνδε κίνδυνον μεθεὶς,
Μόνος ξυνάψω ξυγγόνῳ τῷ 'μῷ μάχην·
Κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος,

Dixit autem, o duces Græci soli,
Præstantissimi Græcorum, qui huc venistis,
Et vos cives Thebani, neque Polynicis gratia
Vendite animas, neque nostra causa;
Ego enim ipse hoc *vobis* periculum remittens.
Solus committam meo fratre certamen.
Et si quidem hunc occidero, solus administrabo domum,

P. σας τοῖς κήρυξι σιγὴν κηρύξαι τῷ λαῷ. (ἔλεξε δὲ, ὦ τῶν ἀπὸ τῆς γῆς τῆς Ἑλλάδος στρατηγοὶ Δαναῶν τε ἀριστεῖς οἵπερ ἤλθετε δεῦρο, καὶ ὦ Καδμεῖοι, μή τε Πολυνείκους χάριν τὴν ζωὴν ὑμῶν προδίδοτε, μήτε ἕνεκα ἐμοῦ. ἐγὼ γὰρ αὐτὸς, ἐκβαλὼν κίνδυνον ὑμῶν, μόνος συγκροτήσω τῷ ἀδελφῷ μου μάχην. ἡττηθεὶς δὲ δώσω τῷδε κατέχειν τὴν πολιν. ὑμεῖς δὲ,

B. γράφοις οὐ φέρεται. 1241. "Δαναῶν ἀριστεῖς] Ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν "μετέβη. Λείπει οὖν τῷ λαῷ] ταῦτα λέγων." 1243. Ψυχὰς ἀπεμπολᾶτε] Ἐκποιεῖτε. Ἀπεμπολᾶν ἐστι κυρίως τὸ πιπράσκειν. Ἄλλως. Εἰς κίνδυνον ἐκδίδοτε. ἡ μεταφορὰ ἀπὸ τῶν κινδυνευόντων ἐν θαλάσσῃ κέρδους χάριν. Ψυχὰς ἀπεμπολᾶτε] Ἐπειδὴ μισθοῦ χάριν οἱ στρατιῶται στρατεύονται, καὶ τὰς ψυχὰς προιᾶσι, διὰ τοῦτο, τὰς ψυχὰς ἀπεμπολᾶτε

versus genuinus videtur, et expressus esse a Stat. Th. 7. 373. *Beck.*

1241. ἀριστῆς hic et infra 1260. ex membr. edidit Brunckius. Copulam addunt plerique codices, et Scaliger. *Por.*

Valcken. scribi vult Δαναῶν τ' ἀριστεῖς, e cod. Cant. et Leid. 1. nam παριστεῖς in hoc inde fluxit. Dici στρατηλάται poterant Δαναῶν ἀριστεῖς, sed quia mox memoratur Κάδμου λαὸς, cui præerat Eteocles, Argivum exercitum istac appellatione a ducibus distinguere voluit Euripides.

Δαναῶν τ' ἀριστεῖς D. Brunck. e membr. scripsit Δαναῶν ἀριστῆς. Similiter etiam infra 1260. ex eodem cod. exhibuit. Mox ἤλθατ' vitiose D. *Beck.*

1242. μή πότε Ald. *Por.*

1244. κίνδυνον μεθεὶς est, *in me periculum suscipiens*, docente Valck., qui et monet, non emendandum esse, τῶνδε κινδύνων μ. vel τόνδε κινδύνῳ μεθεὶς, *huncce* (i. e. me) *periculo remittens*, s. *objiciens.* *Beck.*

1245. μόνῳ, quod conjecit Valckenærius, recepit Brunckius. Mihi magis placet altera conjectura a Valckenærio memorata μόνῳ pro τῷ 'μῷ. Licet enim αὐτὸς sæpe pro μόνος ponatur, αὐτὸς μόνος non est tautologia. Præterea hanc vocem data opera repetiit Euripides; mox enim 1247. pro πόλιν, sive, ut habent Cant. Flor. πάλιν, recte e membr. Brunck. μόνῳ quod etiam præbuit Scaligeri codex. Eodem modo ludit Noster in voce ἀδικῶ et cognatis Orest. 639. in κακὸς Alcest. 713. Participium μεθεὶς optime per ῥίψας explicat Valckenærius. *Por.*

Valck. emendavit Μόνῳ, quia præcessit αὐτὸς, i. e. μόνος, ut sæpe ap. Eurip. Hinc idem rejecit Piersoni conjecturam Μόνος συνάψω συγγόνῳ μόνῳ μ. Vulgatum defendit Abresch. Auct. Dil. Th. et αὐτὸς μόνος sæpe jungi exemplis docet.

Μόνῳ ex emendatione Valck. rescripsit Br. Sub finem versus D. habet μάχη. *Beck.*

Ἡσσώμενος δὲ τῷδε παραδώσω μόνῳ.
Ὑμεῖς δ' ἀγῶν' ἀφέντες, Ἀργεῖοι, χθόνα
Νείσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε,
Σπαρτῶν τε λαὸς ἅλις, ὅσος κεῖται θανών.
Τοσαῦτ' ἔλεξε· σὸς δὲ Πολυνείκης γόνος
Ἐκ τάξεων ὤρουσε, κἀπῄνει λόγους.
Πάντες δ' ἐπεῤῥόθησαν Ἀργεῖοι, τάδε,

Victus vero, huic tradam urbem.
Vos vero omittentes certamen, in Argivum agrum
Redibitis, non relinquentes hic vitam,
Thebanique populi satis est, qui jacet mortuus.
Tantum dixit. Tuus autem filius Polynices
Ex agmine celeriter procurrit, et laudavit hoc dictum.
Omnes vero fremitu applauserunt *Argivi*,

Р. τὸν ἀγῶνα τὸν τοῦ πολέμου ἀφέντες, εἰς Ἀργεῖαν χθόνα πορεύσεσθε, ἀπελεύσεσθε, τὴν ζωὴν μὴ λιπόντες ἐνθάδε· καὶ ὁ τῶν Θηβαίων ὄχλος ἀποθανὼν αὐτάρκης. τοσαῦτ' ἔλεξε, ὁ σὸς δὲ υἱὸς, ὁ Πολυνείκης, ἐκ τῶν ταγμάτων ὥρμησε, καὶ συνῄνεσε τοὺς λόγους. καὶ οἱ Ἀργεῖοι

S. εἶπεν. 1249. Νείσσεσθε] Πορεύσεσθε, ἀπελεύσεσθε. 1253. Ἐπεῤῥόθησαν] Ἀντὶ τοῦ ἐπὶ τούτοις ἤχησαν· ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν κυμάτων· ὡς δίκαια τάδε νομίζοντες. 1255. Κἂν μεταιχμίοις] Ἐν τῷ μεταξὺ τόπῳ τῶν παρατάξεων. Κἂν μεταιχμίοις] Μεταίχμιον λέγεται ὁ τόπος, ὁ μεταξὺ τῶν δύο στρατευμάτων. ἐπὶ τούτοις τοῖς ὁμιλήμασιν ἐν τοῖς μεταιχμίοις συνελθόντες, ἐπεσπείσαντο ἐμμένειν αὐτοῖς οἱ στρατηγοί. ἔνιοι γράφουσι, στρατηλάταις μετὰ τοῦ

Μόνος σ. συγγόνῳ] Valckenærius μόνῳ. Sed et vulgata ferri potest. *Musg.*

1246. Post κτάνω D. interpungit, non post τόνδ'. *Beck.*

1246. τῷδε παραδώσω μόνῳ e membr. scripsit Brunck. Sic omnia monet concinna esse: αὐτὸς μάχην συνάψω μόνῳ. νικῶν οἶκον οἰκήσω μόνος· νικώμενος οἶκον παραδώσω μόνῳ.

Cod. Flor. πάλιν, ut voluit Reisk. *Beck.*

1248. Ἀργείαν Ald. et plerique codices. Ἀργείων quidam. Ἀργεῖον R. Ἀργεῖοι Br. e membr. et sic Scaliger. *Por.*

Ἀργεῖοι e membr. rescripsit Br., et v. sequ. ex iisdem νίσσεσθε. Monet imperativum præsentis esse. Vulgatum νείσεσθε (in D. νείσσεσθε) ut νίσεσθε non aliter adhiberi, quam futuri significatione. *Beck.*

1249. Variant MSS. νίσεσθε, ut Ald. νίσσεσθε, νείσσεσθε, νείσεσθε. Sed ultimum analogiæ melius convenit. *Por.*

Respicit Hom. Il. γ. 74. unde alia quoque huc transtulit. E diversis lectionibus Νίσεσθε, Νίσσεσθε, Νείσεσθε, ultimam prætulit Valck. *Beck.*

νείσεσθε] Ita unus Bodl. unusque Leid. Ed. Ald. νίσεσθε. *Musg.*

1250. Hunc versum suspectum habet Valckenærius. δὲ pro τε Ald. et MSS. quidam. Multi ὃς pro ὅσος, Leid. sec. λαῶν pro λαός. In fine νεκρὸς nonnulli. θανὼν omittit D. *Por.*

Versum hunc uncinis inclusit V., abesse eum posse ratus, ut minus Euripideum, et indignum Eteoclis, hactenus victoris, persona. Senarii conditor forte legerat Theocrit. 22, 177. et Rhes. 873. Leid. 2. Σπαρτῶν τε ἄλαῶν ἅλις, et Flor. ὃς κεῖται νεκρός. Heathio hic versus necessarius videtur, ut sententia omnibus numeris absoluta evadat, et nec Euripide indignus; nihil enim inesse non Euripideum (tamen Valck. monuerat, non dici ab Eur. λαὸς ἅλις et ὅσος κεῖται θανὼν); nec Eteocle scilicet testante, etiam victoriam, civium sanguine partam, sibi minus placere.

Κάδμου τε λαὸς, ὡς δίκαι' ἡγούμενοι.
Ἐπὶ τοῖσδε δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
Ὅρκους ξυνῆψαν ἐμμένειν στρατηλάται.
Ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
Δισσοὶ γέροντος Οἰδίπου νεανίαι.
Φίλοι δ' ἐκόσμουν, τῆσδε μὲν πρόμον χθονὸς
Σπαρτῶν ἀριστεῖς, τὸν δὲ Δαναϊδῶν ἄκροι.

Cadmique populus, utpote hæc justa æstimantes.
His conditionibus sunt factæ induciæ, et in medio utriusque aciei loco
Jusjurandum dederunt duces se iis staturos esse.
Jamque occultabant corpus æneis armis
Duo juvenes senis Œdipi.
Amici vero ornabant, ducem hujus terræ
Principes Thebani: alterum vero principes Argivorum.

πάντες ἐπευφήμησαν, ἃ ὁ Ἐτεοκλῆς εἶπεν, καὶ οἱ Καδμεῖοι, ὡς δίκαιον τόδε νομίζοντες. ἐπὶ τούτοις ἐφιλιώθησαν, καὶ ἀπὸ τῶν δύο μερῶν ὅρκους ὤμοσαν ἐμμένειν τοῖς ὅρκοις τοὺς στρατηγούς. ἐξ ἐκείνου τὸ σῶμα καθώπλιζον οἱ δύο νεανίαι τοῦ γέροντος Οἰδίποδος. φίλοι δὲ ἐκόσμιζον αὐτὸν τὸν πρόμαχον μὲν τῆσδε τῆς χθονὸς, τῶν Θηβαίων ἀριστεῖς, τόνδε, Δαναϊδῶν τοὺς ἄλλους βασιλεῖς καὶ τὰ στρατεύματα ἀκούσωσιν ἐμμένειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων. 1256. Ὅρκους συνῆψαν] Οἷον τὰ πρὸς τοὺς ὅρκους ἐπιτήδεια συνέμιξαν Θηβαῖοι καὶ Ἀργεῖοι, τουτέστι τὸν οἶνον, καὶ τὸ αἷμα τῶν ἱερείων. 1257. Ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις] περιφραστικῶς, ἀντὶ τοῦ ὡπλίζοντο. 1258. Νεανίαι] Ἀντὶ τοῦ οἱ δύο παῖδες· καθὸ λέγεται ἡ κόρη τοῦ δεῖνος, ἀντὶ τοῦ ἡ θυγάτηρ. 1259. Πρόμον] Πρόμαχον, "ἤγουν τὸν

...ὸν omittitur in D. *Beck.*

...παρτῶν τε] Ita Leidensium unus et ... P. Ed. Ald. σπαρτῶν δέ. *Musg.*

1251. ἔλεξ' ὁ σὸς δὲ Ald. sed articulum ...iunt codices plerique. *Por.*

...od. Flor. ἔλεξε, σὲ δὲ Π.

...εξε, σὸς — D. Sic et Br. ed. *Beck.*

...εξε] Ita novem MSS. Ed. Ald. ἔλεξ' *Musg.*

1252. ὅρουσε Ald. sine augmento; con... MSS. *Por.*

...ing. primus pro ὅρουσε dedit ὤρουσε, ut ...n Leidd.

...ρουσε D. ut et Br. ed. *Beck.*

1253. Ἐπεῤῥόθησαν] Vid. ad *Orest.* v. ... *Barnes.*

...ιῤῥοθεῖν proprie de undarum strepitu, ...ide de murmure, assensus teste, adhi...m illustravit V. *Beck.*

1255. ἐπὶ τοῖσι δ' Ald. Grot. ἐπὶ τοῖσδ' pauci MSS. Sed recte ἐπὶ τοῖσδε δ' ...ckenærius ex Leid. sec. cui consenti... M. et, ut videtur, Cant. a m. pr. Si...s error Orest. 889. supra 638. *Por.*

Pro τοῖσι δ' Valck. e Leid. 2. dedit τοῖσδε δ'. In Leid. 1. τοῖσδ'.

Ἐπὶ τοῖσδ' ἐσπ. D. membr. Mox μεσαιχμίοις membr. quam formam Br. repudiat. *Beck.*

1256. στρατηλάτας Ald. et plures MSS. στρατηλάταις Grot. sed στρατηλάται Leid. uterque et Scaligeri codex. *Por.*

στρατηλάται] Ita Exc. P. et duo Leidenses Valckenærio citati. Ed. Ald. στρατηλάτας. *Musg.*

Ed. Grot. στρατηλάταις. Euripidea ducta sunt ex Hom. Il. γ. 269. ss. *Valck.*

1258. Cod. Flor. Οἱ τοῦ γέροντος — forte e v. 1379. Nihil tamen causæ, cur δισσοὶ, quod sæpe sic dicatur de duobus, mutetur, docet Valck. *Beck.*

1259. πρόμαχον χθονὸς J. χθονὸς πρόμον Flor. qui pro δισσοὶ versu præcedente habuit οἱ τοῦ ex 1379. Ibi contra δισσοὶ notavit Scaliger. *Por.*

1260. ναϊδῶν omissa prima vocabuli syllaba D., qui error jam alibi occurrit. *Beck.*

Ἔσταν δὲ λαμπρὼ, χρῶμά τ' οὐκ ἠλλαξάτην,
Μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
Παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων,
Λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας

Steterunt autem fulgentes, nec mutaverunt colorem,
Insano impetu cupientes alter in alterum jaculari hastam.
Accedentes vero alii aliunde amici,
Animantes sermone dicebant hæc :
Polynices, penes te est erigere Jovis statuam

P. δῶν προὔχοντες, ἔνδοξοι. ἔστησαν δὲ φαιδροὶ, καὶ οὐκ ἠλλοίωσαν τὴν ὄψιν, μανικῶς ὁρμῶντες πέμψειν κατ' ἀλλήλων τὸ δόρυ. ἄλλος δὲ τῶν φίλων, ἀπ' ἄλλου μέρους παρεκβαίνοντες, διὰ λόγων εἰς θάρσος προβάλλοντες προσηύδων ταῦτα· Πολύνεικες, ἐπί σοι κεῖται τοῦ Διὸς

S. " Ἐτεοκλῆν." 1263. Παρεξιόντες] Παρεκβαίνοντες, χωριζόμενοι ἀπὸ τοῦ πλήθους. 1265. Ἐν σοὶ, Ζηνὸς] Ἐν σοὶ τρόπαιον στῆσαι ἐστὶν ἡμῖν ἐλπὶς, τῷ τε Ἄργει καλὴν ἀπαγγελίαν δοῦναι. ἢ ἀντὶ τοῦ εὐκλείας λόγον καὶ φήμην καταλεῖψαι τῇ πατρίδι. Ἄλλως. Ἐν σοὶ κεῖται ἀνορθῶσαι * εἴδωλον νικητήριον· οἱ γὰρ νικῶντες εἴδωλον ἵστασαν τοῦ Διὸς " Ζηνὸς ——— βρέτας] Τὸ εἴδωλον τοῦ Διὸς, ἢ αὐτὸς ὁ Ζεύς." 1266. Τρόπαιον] Εἰώθασιν οἱ παλαιοὶ, ὅτε ἐνίκων, τρόπαιον ἀνιστᾶν θεοῦ τινὸς εἴδωλον, καλοῦντες τοῦτο αὐτὸ

* Ante εἴδωλον et νικητήριον articuli desunt in ed. M. non item in Valck. *Beck.*

1261. χρώματ' Ald. emendavit Grotius. *Por.*

In Edd. primis perperam χρώματ' ..lck. confert Hom. Il. N. 279. 284. *Beck.*

1262. Muretus V. L. 5, 17. contulit ..ratianum : *furit te reperire atrox Ty..les.* Dicitur χεὶρ μαργῶσα, μαιμῶσα, διψῶσα, φόνου. v. Valck. *Beck.*

1262. παρεξιόντε δ' quidam mendose. ἄλλα Ald. Grot. ἄλλος Barnesius edidit et sic MSS. plerique. ἄλλοις J. utraque scilicet lectione confusa. In Aristoph. Plut. 785. ἐνδεικνύμενοι ἕκαστος εὔνοιάν τινα adhuc relictum est, licet codicum pars et Suidas v. φλᾶν, ἐνδεικνύμενος præbeant. *Por.*

Ἄλλος] Rejeci ἄλλοι primo adspectu, ut spurium, et ἄλλος substitui. Faventem nunc video *Manuscriptum* Codicem, ut et *Scholiasten* quoque. *Barnes.*

Solent poëtæ ἄλλος, ἄλλοθεν jungere cum pluralibus. v. Valck. *Beck.*

ἄλλος] Ita MSS. plerique. Ed. Ald. ἄλλοι. *Musg.*

1264. Sic Aldus recte. λόγοισι θαρσύνοντες (— τε C. D.) προσηύδων C. D. L. Leid. pr. Ex membr. edidit Brunckius, λόγοις ἐθάρσυνόν τε κἀξηύδων τάδε. *Por.*

Λόγοισι θαρσύνοντες ἐξηύδων] MS. hic legit θαρσύνοντε προσηύδων. Non æque bene, ut mihi videtur : licet enim τὸ προσηύδων magis mihi arrideat, quam ἐξηύδων, vix tamen θαρσύνοντε possum admittere pro θαρσύνοντες, et tamen hæc syllaba necesse est ut sit brevis. Quid ? An hic *dualis* numerus ponitur pro *plurali ?* Certe hoc non novum. En ! solutionem. *Prior* syllaba in προσηύδων per metri leges hic stare nequit, et *Scholiastes* exponit θαρσύνοντες per *verbum*, hoc modo : ἐθάρσυνόν τε καὶ ἔλεγον : quare sic lego : Λόγοισι θάρσυνόν τε πρός τ' ηὔδων τάδε. *Barnes.*

Barnesium ad vanam conjecturam impulisse videtur Cod. Cant. In Leid. 1. θαρσύνοντες προσηύδων, sed Leid. 2. et Flor. recte habent vulgatum. Nam ἐξαυδᾷν est *eloqui.* Idem ad v. 1267. monet, ibi forte adscriptum a grammatico προσηύδων huc migrasse.

λ. θαρσύνοντε προσηύδων τ. D. Sed

Τρόπαιον, Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον.
Ἐτεοκλέα δ' αὖ, νῦν πόλεως ὑπερμαχεῖς,
Νῦν καλλίνικος γενόμενος, σκήπτρων κρατεῖς.
Τάδ' ἠγόρευον, παρακαλοῦντες εἰς μάχην.
Μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς

Trophæi signum, et magnam gloriam parare Argis.
Eteoclem vero vicissim: nunc pro patria pugnas,
Nunc præclaræ victoriæ compos factus, sceptrum *regni* tenes;
Hæc dicebant, hortantes ad pugnam.
Vates vero mactabant pecudes, et igneas acies,

..θαι στῆσαι τὸ εἴδωλον, σύμβολον τῆς νίκης, καὶ δοῖναι τῷ Ἄργει εὐκλεᾶ λόγον, ἀντὶ τοῦ ..μον, ἣν ἄλλοι φημίσουσι, δηλονότι ἐπὶ τῷ Ἄργει. Ἐτεοκλέα δ' αὖ ἐθάρσυνόν τε, καὶ ..γον, νῦν νικηφόρος γενόμενος τῆς βασιλείας κρατήσεις.———

.. 1267. Ἐτεοκλέα] Πρὸς Ἐτεοκλέα ἔλεγον. Ἄλλως. Ἐτεοκλέα δ' αὖ] Ἀπὸ κοινοῦ ἐθάρσυνόν τε καὶ ἔλεγον. 1268. Σκήπτρων κρατεῖς] Κρατήσεις ἔδει εἰπεῖν. νῦν δὲ εἶπε .. μέλλουσαν νίκην, ὡς ἐνεστῶσαν· ἔθος γὰρ τοῖς ἐπιθυμοῦσιν ἰδεῖν τι, εἰ καὶ μήπω ἐκεῖνο ..βη, ὡς παρὸν λέγειν. 1270. Ἐμπύρους τ' ἀκμὰς] Τὰς ὀξύτητας τοῦ πυρὸς, τὰς ἐκ .. ὁλοκαυμάτων ἀναφερομένας. Ἐμπύρους τ' ἀκμὰς] Τὰς τοῦ πυρὸς ἀναδόσεις, καὶ τὰ ..τα τὰ ἐκ τῶν ἐμπύρων ἀναφερόμενα, ἀφ' ὧν σημειοῦνται οἱ μάντεις. "Ἀκμὰς] Τὰς ἀναδόσεις, ἐπεὶ βιαιότατόν ἐστι τὸ πῦρ. ἢ τὰς ὀξύτητας τὰς ἐμπύρους· ἤτοι τοὺς ὀβελίσκους τοὺς πεπυρακτωμένους· καὶ γὰρ, τῷ πυρὶ ἔθος ἐστὶν ἄνωθεν ἐπιφέρεσθαι."

..ck. e membr. scripsit. λόγοις ἐθάρσυνόν ..ξηύδων τάδε. *Beck.*

..b. P. λόγοις ἐθάρσυνόν τε, κἀξηύδων .. *Musg.*

..65. Ζηνὸς ὀρθῶσαι βρέτας τρόπαιον] ..eorum imaginibus pro tropæis posi..id. ad *Heraclid.* v. 937. Similem .. vid. infra ad v. 1488. *Barnes.*

..at ἐν σοὶ supplendum κεῖται, vel ἐστιν, vel *in tua situm est potestate, a te pen..* quo sensu sæpe hæc formula legitur. ..alck. *Beck.*

..67. Ἐτεοκλεᾶ] Ita scribo, ut metro ..ulatur, eodem modo, quo in præce..i scriptum erat et olim recte εὐκλεᾶ. .. supra v. 72. Sed horum quidem ..aperta est, eo quod contrahuntur; ..εὐκλῆς, ab εὐκλεὴς, et Ἐτεοκλέης et ..κλῆς, et Ἡρακλέης et Ἡρακλῆς scri..ur; sed in nominibus in εὺς desinen..s quoque et in ὴς impuro aliquando ..lis invenitur licentia, apud *Atticos* ..ertim, de qua re nos alias, nempe ad ..*omach.* v. 545. Cujus rei plurima ..rrunt exempla, ut *Phœniss.* v. 72. et ..1. et *Hippolyt.* v. 957. et v. 1148. et *Andromach.* v. 515. et ejusd. v. 1240. et v. 1250. *Barnes.*

Ἐτεοκλέα] Non scribi cum Barn. metri causa Ἐτεοκλεᾶ, vel Ὀρφεᾶ, sed per se ultimam talium nominum syllabam longam esse, docet Valck.

Ἐτεοκλέα D. atque sic Br. quoque edidit. *Beck.*

1268. σκῆπτρον Ald. σκήπτρων codices fere omnes. *Por.*

Σκήπτρων] Ita lego, et ita MS. Olim σκήπτρον. *Barnes.*

Etiam in 2. Leidd. σκήπτρων.

σκήπτρων etiam Br. e membr. scripsit. In D. σκήπτωρ. *Beck.*

Male Ed. Ald. σκῆπτρον. Edi debuit σκήπτρων ex MSS. Cantab. Bodl. Leid. et Lib. P. *Musg.*

1270. μάντεις τε et ἐμπύρους δ' Ald. sed δὲ pro τε MSS. non pauci, τ' pro δ' plurimi. *Por.*

Ἀκμὰς] *Iambice* legitur. Vid. quæ cumulavimus ad *Phœniss.* v. 19. *Barnes.*

Valck. auctoritate codd. Leidd. voculas δὲ et τε transposuit, atque dedit: Μάντεις δὲ—ἐμπύρους τ'. *Beck.*

Ῥήξεις τ' ἐνώμων, ὑγρότητ' ἐναντίαν,
Ἄκραν τε λαμπάδ', ἢ δυοῖν ὅρους ἔχει,
Νίκης τε σῆμα, καὶ τὸ τῶν ἡσσωμένων.

Rupturasque observabant, mobilitatem non coalescentem,
Summamque flammam, quæ duarum *rerum* significationes habet,
Victoriæ *scilicet* signum, et victorum.

S. 1271. Ῥήξεις τ' ἐνώμων] Τὰς τῆς χολῆς ῥήξεις ἐπεσκόπουν, τὴν ὄψιν μεταφέροντες· τηροῦσι γὰρ οἱ μάντεις τὰς χολάς. Ἄλλως. Ῥήξεις τ' ἐνώμων] Τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ, καὶ παρετήρουν πῶς ῥαγήσεται, καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι, "Τὰς μαλλοδετεῖς κύστεις." Ὑγρότητ' ἐναντίαν] Τὰ περὶ τῶν ἐναντίων δηλοῦσαν, τὴν ἐπὶ * τῶν ἐναντίων ἐχθρῶν ἀεὶ ταρασσομένην. οἱ γὰρ θύται, περὶ τῶν ἐχθρῶν εἰ βουληθεῖεν μαντεύεσθαι, ἔχοντες χολὴν ἀφορῶσι· πικροὶ γὰρ οἱ ἐχθροί· ὑγρότητα δὲ λέγει, αὐτὴν τὴν χολήν. Ὑγρότητ' ἐναντίαν] Τὴν τὰ περὶ τῶν ἐναντίων δηλοῦσαν, ἢ διὰ τὸ πικρὰν οὖσαν καλεῖσθαι γλυκεῖαν, ἢ ἐναντίαν, ὡς πρὸς τὸ πῦρ, ξηρὸν γὰρ τὸ πῦρ. τὸ δὲ ἑξῆς, μάντεις τὰ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς ἐνώμων, (κατὰ κοινοῦ γὰρ τὸ ἐνώμων) ἄκραν τε λαμπάδα ἐνώμων. ἄκραν τε λαμπάδα, τὸ ἄκρον τοῦ πυρὸς, ὃ καλεῖται κέρκος, ἐσκόπουν. οἱ δὲ τὴν καρδίαν, διὰ τὸ εἶναι πυρώδη, καὶ θερμήν. Ἄλλως. Τὴν οὐρὰν τοῦ ἱερίου· ἦν γὰρ καὶ δι' αὐτῆς μαντεία. καμπτομένη γὰρ ὑπὸ τοῦ πυρὸς σημαίνει δυσχέρειαν πολέμου, ἁπλουμένη δὲ καὶ κάτω νεύουσα ἧτταν, ἀνατεινομένη δὲ εἰς ὕψος νίκην. οἱ δὲ Ἄκραν Λαμπάδα τὴν χολὴν λέγουσι, τὴν ἐν τῷ ἥπατι. σημεῖον γάρ ἐστι μαντικὸν τῆς νίκης τε καὶ ἥττης. Ὑγρότητ' ἐναντίαν] Σφάζοντες οἱ μάντεις πρόβα-

* Τῶν ἐναντ. ἐχθρῶν] τ. ἐ. καὶ ἐχθρῶν vult. Valck. Vocem χολὴν hæc sequuntur in Aug. ἢ ἐναντίως (lege ἐναντίαν, ὡς.) πρὸς τὸ πῦρ· ξυρὸν γὰρ τοῦτο. *Beck.*

ἐμπύρους δ'] MSS. omn. et Lib. P. ἐμπύρους τ'. *Musg.*

1271. ἐναντίων Schol. et pars magna codicum. *Por.*

In codd. King. ὑγρότητ' ἐναντίων. Ῥήξεις Scholiastæ explicant τὰς τῆς χολῆς vel τῆς κύστεως ῥήξεις. cf. Triclin. ad Soph. Antig. 1021. Sed tota hæc sententia pertinet ad ignispicia Græcorum, in quibus nulla *ruptæ vesicæ*, quod Græci hic narrant, mentio, sed flammam potissimum spectabant, quomodo se per auras explicaret. Luculenta in hanc rem loca duo sunt, Senec. Œd. 309. ss. et Stat. Th. 10. 593. ss. Hinc etiam illustrari possunt Euripidis ῥήξεις, quæ fuisse videntur αἱ τοῦ πυρὸς καμπαὶ et εἰλήσεις. Per ἐμπύρους ἀκμὰς indicatur *ignis* vel *flammæ vigor*, in acutum desinentis, qui dicitur ap. Æsch. πώγων πυρὸς, sæpe enim ignium flammæ appellantur *crines*. De apice flammæ bono omine eadem fere, quæ M., dedit Valck. qui, quid sit ὑγρότης ἐναντία, se nescire fatetur.

ἐναντίων D. Versu præced. Brunck. edidit: Μάντεις δὲ—e membr. *Beck.*

Lego: ὑγρότητ' ἀναρσίαν, i. e., ἀνάρμοστον, *mobilitatem male coalescentem*: ὑγρότης *mobilitatis* sensu etiam in vulgaribus lexicis exemplis munitum prostat. Solenne autem erat in omni ignispicio, scissiones flammæ et reflexiones spectare, quod malum omen habebatur, ut contra bonum, si ea recta et indivisa stetisset, maxime si in altum claro apice protenderetur. Sic tanquam bonum omen a Dion. Cass. memoratur Lib. 37. quod τὸ πῦρ ἐπὶ μακρότατον παρὰ τὸ εἰκὸς ἤρθη. Ovid. ex Ponto Lib. 4. Ep. 9. v. 53.

Surgat ad hanc vocem plana pius ignis ab ara,
Detque bonum voto *lucidus* omen *apex*.

Sed omnia fere, quæ bonum eventum portendebant, complectuntur Tiresiæ ad Mantum quæstiones. Senec. Œdip. v. 309.

Utrumque clarus ignis et nitidus stetit,
Rectusque purum verticem cœlo tulit,
Et summam in auras fusus explicuit comam?

Quid sit apud poëtas νωμᾶν, extra controversiam posuit Plato, qui sic in Cratylo: τὸ νωμᾶν καὶ τὸ σκοπεῖν ταὐτὸν, p. 282. E. Finem versus, de quo emendando despe-

Ἀλλ᾽ εἴ τιν᾽ ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,
Ἢ φίλτρ᾽ ἐπῳδῶν, στεῖχ᾽, ἐρήτυσον τέκνα
λεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,

ed si quod remedium, aut sapientem habes rationem,
ut philtra incantationum, vade et cohibe liberos
. sævo certamine, quia periculum est magnum,

ότε τινὰ ὄλεθρον ἢ νικην τῶν αὐτῶν στρατευμάτων ἐβούλοντο σημειώσασθαι, τέμοῦτο, τὸν μὲν μηρὸν περιειλοῦντες πιμελῇ, ἐπὶ πῦρ ἐπετίθουν. καὶ, εἰ μὲν ἐξήφῦρ, νικᾶν ἔλεγον· μὴ τούτου δὲ γενομένου, νικᾶσθαι. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τιν μεστὴν οὔρου ἐν τῷ στόματι ἐρίῳ δεσμοῦντες, ἐπετίθουν τῷ πυρὶ, καὶ ἐπετήρουν ήσεται, καὶ ποῦ ἀκοντίσει τὸ οὖρον· καὶ εἰ μὲν εἰς αὐτοὺς, νικητὰς ἑαυτοὺς ἐκάλουν· τοὺς ἐναντίους, καταβολὴν αὐτῶν ἐμαντεύοντο. τὴν οὖν ἀκόντισιν τοῦ οὔρου ἐναντίαν ι λέγει. ἐπετήρουν δὲ ἁπλῶς καὶ τὸ ἄκρον τοῦ πυρὸς, τὴν μὲν ἔξαψιν τούτου νίκην, εἰς τοὐναντίον ὁρμὴν ἀπώλειαν καὶ φθορὰν σφῶν αὐτῶν λογιζόμενοι. τὸ δὲ ἐνώμων πεκδοχὴν εἰς τὰ τρία λάμβανε, εἴς τε τὸ ἀκμὰς, καὶ εἰς τὰς ῥήξεις καὶ εἰς τὸ ἄ- 1274. Ἢ σοφοὺς] Μαγικούς. Ἄλλως. Ἐπιτηδείους, ἐπαγωγοὺς λόγους. 1275. Ἢ πῳδῶν] * Τῶν ἐπᾳδόντων ἀνθρώπων, ἃ ἐπάγουσα δύνασαι εἰς φιλίαν αὐτοὺς ἀγαλλως. Φίλτρα ἐπᾳδῶν, ἀντὶ τοῦ ἐπῳδὰς φίλτρων. Φίλτρον, τὸ φιλίαν ἐμποιοῦν, Μίσητρον, τὸ ἐμποιοῦν μῖσος. καὶ Φόβητρον, τὸ φόβου ποιητικόν. καὶ Θέλτὸ παρακινοῦν εἰς τέρψιν. ἐνταῦθα δὲ φίλτρον ἀντὶ τοῦ φιλίας, ἵν᾽ ᾖ ἐπῳδὰς τουτέστιν εἰς φιλίαν συνάγειν δυναμένας. Στεῖχ᾽, ἐρήτυσον] Ἀπέρχου, κώλυσον ἀπὸ ιπῆς ἔριδος τὰ τέκνα, ἐπεὶ ὁ πόλεμος μέγας ἐστί· 1276. Ἁμίλλης] Φιλονεικίας.

lck. corrigendum putat: τῶν ἐπᾳδόντων ἀνθρώπων· ἢ ἃ ἐπᾴδουσα δύνασαι etc. *Beck.*

:kenærius, sic restitui posse ar-

τ᾽ ἐνώμων, ὑγρότητ᾽ ἐνωπίων.

ulorum. Sic Æschylus: ἔχουσα ι᾽ ἀσφαλές. Supplic. 152. ὑγρό- ν est *humiditas oculorum lacryorum*. Apollon. Rhod. ὑγρὰ δ᾽ :οις ἔχον ὄμματα. III. 1160. ὑγρότητ᾽, i. e. ὑγρότητι, valet ητος. Sic noster: Ἱκτῆρι θαλ- τνοῦσ᾽ ἐμὸν γόνυ. Suppl. v. 10. in eadem fabula v. 108. πρὸς ν ἱκεσίᾳ χερὶ, i. e. μετὰ ἱκεσίας *usg.*

υεῖν Cant. mox καὶ τὰ C. κατὰ

αμπάδα, interpretantur τὸ ἄκρον – Mox Leid. 1. τὰ τῶν ἡσσωμέ- suprascripto. Morus l. 1. p. 26. γρότητ᾽ ἐναντίαν Ἄκραν τε λαμπάδ᾽ emate habet, ὑγρότητ᾽ ἐναντίαν pretamentum τοῦ ῥῆξιν, quæ est aticorum mente rupta vesica ffusus inde liquor, et ἄκραν λαμorum ἐμπύρους ἀκμάς. Glosseremotis, corrigit ῥῆξιν, quia sequitur ῥ., locumque vertit: *Vates—igneos apices et scissuram* (apicem flammæ divisum) *observabant, quæ duarum rerum confinia continet, signum victoriæ et cladis.* νωμᾶν ap. Soph. Œd. T. 308. *animo agitare. Beck.*

ἄκραν τε λαμπάδ᾽ —] Victoriam scilicet portendebat apex flammæ, si clarus et nitidus esset, tristem contra eventum, si in fumum et nigredinem desineret. Ovid. l. cit. Qui plura de ignispiciis desiderant, conferre possunt Æschyl. Prometh. v. 497. Soph. Antig. v. 1015. Apollon. Rhod. Lib. 1. v. 437. ibique Scholiasten. Virg. Geor. l. v. 385. Ovid. Metam. Lib. 10. v. 278, 9. Valer. Flacc. Lib. 8. v. 247. Stat. Theb. Lib. 10. v. 593. Lucan. Lib. l. v. 546. Artemidor. Oneirocrit. Lib. 2. c. 9. Propert. Lib. III. Eleg. 8. Philostrat. vit. Apollon. Tyan. Lib. I. c. 20. De dissidio flammæ in rogo Eteoclis et Polynicis vid. Philostratum Icon. Lib. 2. in Antigona. *Musg.*

1273. Pro καὶ τὸ in D. κατά. *Beck.*]

1274. Valck. vix putat, ἀλκὴν ab Eurip. proficisci potuisse, eidem huc respexisse videtur Plutarch. T. II. p. 1059. A. ἐμὲ

Κἄπαθλα δεινὰ, δάκρυά σοι γενήσεται
Δισσοῖν στερείσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.
ΙΟ. Ὦ τέκνον ἔξελθ' Ἀντιγόνη δόμων πάρος·
Οὐκ ἐν χορείαις, οὐδὲ παρθενεύμασι
Νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις·

Et præmia gravia; alioqui lacrymæ tibi erunt
Privatæ duobus filiis in hoc die.
Joc. O filia Antigone, egredere ante ædes:
Non in choreis neque in virginum cœtu
Nunc tibi procedit status fortunæ:

S. 1277. Καὶ τἄθλα δεινὰ] Τὰ ἆθλα ἀμφοτέρων, ἤγουν τὰ ἔπαθλα τὰ ἐπὶ τῇ νίκῃ γέρα. Ἔπαθλον γὰρ ἑτέρῳ ἔσται ἡ τοῦ ἑτέρου ἀπώλεια. Καὶ τἄθλα δεινὰ] Τὰ δεινὰ ἀγωνίσματα. Καὶ τἄθλα δεινὰ] Ἆθλα τὰ ἐπὶ τῇ νίκῃ διδόμενα γέρα· λέγει οὖν ἐνταῦθα ὁ ἄγγελος τῇ Ἰοκάστῃ, ὅτι ἐὰν νικήσῃ ἅτερος ἀδελφὸς τὸν ἕτερον, καὶ ἀποκτάνῃ, σὺ, ἅτε μήτηρ, ἐπὶ τῇ τοιαύτῃ νίκῃ, καὶ τῷ θανάτῳ τοῦ υἱοῦ κλαύσεις πικρῶς· ἢ ἆθλα· νοητέον τοὺς ἀγῶνας. 1279. Δόμων πάρος] Τὸ πάρος ἐπίῤῥημα παρὰ ποιηταῖς ἐν χρήσει, ἐνίοτε μὲν τοπικὸν, ὡς ἐνταῦθα, ἐνίοτε δὲ χρονικόν· ἀπὸ τούτου τὸ παροίτερον καὶ τὸ παροίτατον. 1280. Οὐκ ἐν χορείαις] Οὐκ εἰς τοῦτό σοι τὰ παρόντα καθέστηκεν ὡς παρθενεύειν τε καὶ πανηγυρίζειν. τοὺς γὰρ ἀδελφοὺς μέλλοντας μονομαχεῖν κωλῦσαι σε δεῖ, μετ' ἐμοῦ ἰοῦσαν. ἢ τὸ κατάστασις, ἀντὶ τοῦ, οἰκονομία· ἵν' ᾖ οὕτως· ἡ οἰκονομία τῶν θεῶν οὐκ ἐν πανηγύρεσι καὶ τέρψεσιν ἐστί σοι νῦν. Παρθενεύμασιν] Ὥσπερ θαλαττεύειν, τὸ ἐν θαλάττῃ διάγειν. οὕτω καὶ Παρθενεύειν, τὸ ἐν παρθενίᾳ διάγειν. ἐνταῦθα δὲ παρθενεύματα, οὐ τὴν ἐν

πολλῆς — μεστὸν ἥκοντα ταραχῆς, εἴτε τισὶ λόγοις, εἴτε ἐπῳδαῖς, εἴτε ἄλλον ἐπίστασαι τρόπον παρηγορίας, οὐκ ἂν φθάνοις ἰατρεύων. —ἀλκὴν tuetur Abresch. ad Æsch. T. II. p. 38. et εἴ τιν' ἀλκὴν dictum monet, ut εἴ τι δύνασαι. *Beck.*

1275. s. Seneca Phœniss. 401. s. *I, redde amorem fratribus, pacem omnibus; Et impia arma, mater, opposita impedi.* ἐρύτησον D. *Beck.*

1277, 8. Et hos duo versus pro spuriis habet Valckenærius, vereor ut rationibus satis validis impulsus. Non nimis quidem apte cohærent, ut nunc leguntur; et recte observat Vir egregius, τἆθλα scribi non potuisse a Tragico. Articulus enim cum α brevi tantum crasin facit, ἆθλον vero primam habet per se longam, utpote ex ἄεθλον contractum. Sed alterum vulnus dextre sanavit Reiskius, alterum ego sanare conabor. Pro στερήσῃ optime legit στερείσῃ, lege igitur ΚΑΠΑΘΛΑ, et sententia bene procedet. Nullum erroris genus frequentius, quam ubi eædem vel valde similes lineæ diversas literas constituunt. Hinc perpetuo confunduntur, aut a se invicem perduntur, IT, Π, TI. Philemon apud Stobæum XCVII. p. 394. Grot. Καὶ εἶτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανών. Sed illud καὶ neque priores Stobæi editiones neque Rutgersius Var. Lect. IV. p. 358, agnoscunt. Recte igitur Bentleius in Philem. p. 126, 148. ΕΠΕΙΤΑ. Aristoph. Pac. 744. εἶτ' ἀνέροιτο pro ἐπανέροιτο ex Dawesii monito reposuit Brunckius, nolente Invernizio, qui edidit εἶτ' ἐπανέροιτο. *Por.*

Valck. putat, primum horum versuum hariolum potius decere, quam Eteoclem, alterum non cohærere cum præcedd. στεῖχ', ἐρήτυσον τέκνα δεινῆς ἁμίλλης, in metu tantum, quis periturus sit, subsistere debuisse nuncium, et lacrymas parum respondere tanto luctui. King. et Cant. post δεινὰ interpunxerunt, sed quid tum significabunt sequentia δάκρυά σοι γενήσεται; Jungi saltem debuerant ἆθλα [τἆθλα scribi non potuit a tragico (cujus effati rationes postulat Heath.)] δάκρυά σοι γενήσεται, *certaminis ipsorum præmia tibi erunt lacrymæ.* Semel hoc fere modo locutus est Eurip. in Hel. 487. Illius loci et Soph. Antig. 13. s. memor facile hos duo versus condere potuit. Nonnulli ta-

Ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
Εἰς θάνατον ἐκνεύοντε, κωλῦσαί σε δεῖ,
Σὺν μητρὶ τῇ σῇ, μὴ πρὸς ἀλλήλοιν θανεῖν.
ΑΝ. Τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν
Φίλοις ἀυτεῖς τῶνδε δωμάτων πάρος;

Sed viros optimos et fratres tuos,
Vergentes ad mortem, impedire te oportet,
Cum matre tua, ne mutuo concidant.
Ant. Quem, o mater, novum horrorem
Amicis insonas ante has ædes?

P. ANTIΓ. Ὦ μῆτερ, ἡ τεκοῦσά με, τίς ἐστιν ἡ καινὴ βοὴ ἡ ἐκπληκτική, ἣν βοᾷς ἡμῖν τοῖς
S. παρθενίᾳ διαγωγὴν δηλοῖ· εἰ γὰρ τοῦτο ἐδήλου, προετρέπετο ἂν ὁ λόγος ἀφίστασθαι αὐτὴν τῆς ἐν παρθενίᾳ διαγωγῆς, ὅπερ ἔξω τοῦ νῦν λόγου καὶ τῆς ὑποθέσεως· ἀλλὰ λαμβάνεται νῦν ταῦτα ἀντὶ τῆς ἁρμοζούσης καταστάσεως ἐν παρθενίᾳ, ἵν' ᾖ ὁ λόγος οὕτως· ἡ κατάστασις τῆς τύχης οὐ προχωρεῖ σοι νῦν ἐν χορείαις, οὐδὲ ἐν τῇ ἁρμοζούσῃ καταστάσει τῆς παρθενίας. 1281. Δαιμόνων κατάστασις] Ἡ τύχη· ὁ δὲ νοῦς· ἔξελθε τῶν οἰκείων· οὐ γὰρ ἐν χορείαις καὶ παρθενῶσιν ἡ παροῦσα τύχη, ὥστε καὶ ὄχλον διελθεῖν αἰδεσθῆναι. "Ἄλλως. Ἔξελθε ἐκ τῶν οἴκων· οὐ γὰρ ἐν χορείαις καὶ " παρθενώνων ἀναστροφαῖς ἡ παροῦσα τύχη συγχωρεῖ μένειν. Νῦν οὐχ ἁρμόζει σοι αἰδεῖσ-" θαι· οὐκ ἔστι καιρὸς αἰσχύνεσθαί σε νῦν." 1285. Τίν', ὦ τεκοῦσα] Τίνα, ὦ μῆτερ, καὶ νῦν ἑτέραν συμφορὰν ἐμοὶ τῇ φίλῃ ἀπαγγέλλεις; Τὸ γὰρ φίλοις, ἀντὶ τοῦ φίλῃ, ἢ φίλοις,

men eos tuebuntur, utpote dictos, secedente Jocasta, et vultu ad spectatores converso. Fortassis erunt, qui sic corrigi malint:

Ἔπαθλα δεινὰ δάκρυά σοι γενήσεται,
Εἰ σοῖν στερήσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.

Nam si periret eorum alter, utroque tamen mater censeri deberet orbata. Valck. στερείσῃ ex Reisk. conj. valet *orbatæ*. *Beck.*

Valckenærius et hos quoque versus ejicit. Mihi emendandi potius videntur:

—— ὡς ὁ κίνδυνος μέγας,
καὶ τἆθλα δειν'· ἢ δάκρυά σοι γενήσεται
δισσοῖν στερείσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.

τὰ ἆθλα sunt *decertantium præmia*. Xenoph. de Cyri Exped. p. 246. Ed. Paris. 1625. ἀγῶνα ἔθηκε, τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ. Idem p. 296. ἐν μέσῳ γὰρ ἆθλα κεῖται ταῦτα τὰ ἀγαθὰ, ἆθλα. στερείσῃ pro στερήσῃ Reiskio debetur. δισσοῖν, quod Valckenærius fatidico potius convenire ait, quam armigero Eteoclis, facile defenditur ex v. 1284, et 1287, et 1314. Et quid si Œdipus filios suos mutuæ cædi devoverit? *Musg.*

1278. στερείσῃ edidit Brunck. στερεὶς pro στερηθεὶς dicitur. v. ipsum ad Hec. 621. *Beck.*

1280. οὐδ' ἐν Ald. οὐδὲ Grot. et codices satis multi. *Por.*

Οὐκ ἐν χορείαις, οὐδὲ παρθενεύμασι etc.] Simile v. 1291. Οὐκ ἐν αἰσχύνῃ τὰ σά. Sensus est: Non jam modestiæ, aut virginalis pudoris, ratio habenda est, ne foras vageris; vita enim fratrum tuorum in periculo est. Vid. infra ad v. 1652. Alio fere sensu *Homerus* Il. ο. v. 508. Οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι. Quod nos in *Franciados* nostræ l. 1. v. 587. ita expressimus:

—Nec magnus solennia ducere Festa
Plantageneta parat, molli nec ludere saltu;
Nec lepidos Puer ille choros, sed Prœlia, quærit.
Barnes.

οὐδὲ etiam Leid. 2. perperam in Leid. 1. οὐδὲ ἐν—Perincommoda hic chorearum mentio, et Antigones persona, in sene patre curando occupatæ, ac tum mœrore confectæ, minus accommodata. Sed hoc forte ipsius poëtæ vitium. Valck. qui confert Iphig. Aul. 1353 ss.

οὐδ' ἐν παρθεν. D. *Beck.*

ΙΟ. Ὦ θύγατερ, ἔῤῥει σῶν κασιγνήτων βίος.
ΑΝ. Πῶς εἶπας; ΙΟ. Αἰχμὴν εἰς μίαν καθέστατον.
ΑΝ. Οἳ ἐγὼ, τί λέξεις, μῆτερ; ΙΟ. Οὐ φίλ', ἀλλ' ἕπου.
ΑΝ. Ποῖ παρθενῶνας ἐκλιποῦσ'; ΙΟ. Ἀνὰ στρατόν.
ΑΝ. Αἰδούμεθ' ὄχλον. ΙΟ. Οὐκ ἐν αἰσχύνῃ τὰ σά.
ΑΝ. Δράσω δὲ δὴ τί; ΙΟ. Συγγόνων λύσεις ἔριν.
ΑΝ. Τί δρῶσα, μῆτερ; ΙΟ. Προσπιτνοῦσ' ἐμοῦ μέτα.

Joc. O filia, perit vita tuorum fratrum.
Ant. Quomodo dicis? *Joc.* Constituti sunt in singulare certamen.
Ant. Heu mihi, quid dicis, mater? *Joc.* Non grata, sed sequere.
Ant. Quo, virginali thalamo relicto? *Joc.* Ad exercitum.
Ant. Pudet me venire in turbam. *Joc.* Tuæ res non requirunt pudorem.
Ant. Quid igitur faciam? *Joc.* Solves dissidium fratrum.
Ant. Quomodo solvam, mater? *Joc.* Mecum procidens ad genua.

P. φίλοις, ἱσταμένη ἔμπροσθεν τῶν δωμάτων.———

S. ἀντὶ τοῦ περὶ φίλων ἡμῖν Ἐτεοκλέους καὶ Πολυνείκους. 1288. Αἰχμὴν ἐς μίαν] Εἰς μονομαχίαν καθεστήκασιν. 1289. Οἲ ἐγὼ] Ἐπίῤῥημα στεναγμοῦ. Τί λέξεις, μῆτερ] Δέον εἰπεῖν, τί λέγεις, εἶπε γὰρ ὡς πρὸς ἀλλήλους μονομαχήσουσι· καὶ Ἀντιγόνη οὐκ ἐδεῖτο αὖθις ἀκούειν ἀκούσασα, ὁ δὲ τί λέξεις εἶπεν εἰκότως, δείκνυσι γὰρ ἐντεῦθεν τὴν Ἀντιγόνην τῇ τοῦ ἀκούσματος ὑπερβολῇ ἐκπλαγεῖσαν, καὶ οὐ παραδεχομένην τοῦτο, ἀλλ' ὥσπερ καφεύουσαν, καὶ οὐ βουλομένην τοιαῦτα περὶ τῶν ἀδελφῶν ἀκούειν. συμβαίνει δὲ ἡμῖν τὸ τοιοῦτον ὁπόταν τὶ παράδοξον ἐξαίφνης ἀκούωμεν. Οὐ φίλ', ἀλλ' ἕπου] Οὐ προσφιλῆ, ἀλλ' ἀκολούθει. 1291. Οὐκ ἐν αἰσχύνῃ τὰ σά] Γράφεται, "—— οὐκ ἐν αἰχύνῃ τάδε." ἤγουν τὰ παρόντα· τουτέστιν αἰσχύνην οὐκ ἔχουσι τὰ παρόντα, ἐκκρούουσι τὴν αἰσχύνην. 1293. Προσπιτνοῦσα] Παρακαλοῦσα. 1294. Ἡγοῦ σὺ πρὸς μεταίχμι'] Ἡγεμόνευε, προηγοῦ, πρὸς τὸν μεταξὺ τῶν παρατάξεων τόπον, ἔνθα δὴ ἐγίνετο ἡ μονομαχία. Πρὸς μεταίχμι'] Πρὸς τὸν τόπον τὸν μεταξὺ τοῦ πολέμου, ἔνθα ἦν τὸ μονομάχειον. 1296. Οἱ 'μὸς ἐν φάει βίος] Ἤγουν ἡ ἐμὴ ἐν φωτὶ ἔσται, ἀντὶ τοῦ ζῶσα ἐγὼ ἔσομαι βλεπομένη. 1298. Αἶ, αἶ, αἶ, αἶ] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται, ὡς εἴρηται, κατὰ σχέσιν. ἔστι δὲ τὸ παρὸν ᾆσμα μιᾶς στροφῆς· τὰ κῶλα δὲ τῆς μὲν στροφῆς ιε', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. Τὸ α'

1283. ἐκνεύοντες D. Paullo ante ἐς θάνατον scripsit Br. e membr., ut et 1288. ἐς μίαν. *Beck.*

1284. ἀλλήλοις Ald. ἀλλήλοιν MSS. plerique. *Por.*

μητρὶ Br. et mox μῆτερ (ut et v. 1193.) πρὸς ἀλλήλοιν D. ut et Br. ed. *Beck.*

ἀλλήλαιν] Ita MSS. septem. Ed. Ald. ἀλλήλοις. *Musg.*

πρὸς ἀλλήλοιν θανεῖν est *mutuis cædibus confici*, qua in formula tertius casus non adhibetur. *Valck.*

1289. Scripturam οἳ ἐγὼ (pro οἳ 'γὼ) illustrat et defendit Br. ad Æsch. Pers. 515.

οἳ ἐγὼ ut et in D. non οἳ 'γὼ scripsit Br. *Beck.*

1293. ἐκλιποῦσα D. *Beck.*

1221. τάδε ut variam lectionem pro τὰ σὰ habent C. Leid. unus, et alii. *Por.*

Ad τὰ σὰ in Leid. 2. adscriptum: γρ. τάδε, ἤγουν τὰ παρόντα. sed eodem fere modo, quo hic, est Ion. 1412.—οὐκ ἐν αἰσχύνῃ τὰ σὰ est, *non decet te nunc pudor*; οὐκ ἐν εὐμαρεῖ, οὐκ ἐν ἀσφαλεῖ, et similia illustravit ad h. l. Valck. *Beck.*

1292. δὴ deest in D. Mox idem exhibet λύσης. *Beck.*

1294. Jam verbis οὐ μελλητέον Jocastæ personam præfigendam esse censet Valck. objicientis filiæ tarditatem. Apud Senec. Ph. 403. contra Antigone matrem sic cohortatur.

μεταίχμιον et mox μελητέον D. *Beck.*

1295. Ἔπειγ' esse activum ἔπειγε, et suppleudum esse σαυτὴν vel πορείαν, vel

ΑΝ. Ἡγοῦ σὺ πρὸς μεταίχμι'· οὐ μελλητέον.
ΙΟ. Ἔπειγ', ἔπειγε, θύγατερ, ὡς, ἢν μὲν φθάσω
Παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος·
Θανοῦσι δ' αὐτοῖς ξυνθανοῦσα κείσομαι.
ΧΟ. Αἶ αἶ αἶ αἶ, *στροφή.*
Τρομερὰν φρίκαν, τρομερὰν φρέν' ἔχω·
Διὰ σάρκα δ' ἐμὰν

Ant. Præcede tu ad locum inter acies medium, non est cunctandum.
Joc. Festina, festina, o filia? quia si præverto
Filios ante pugnam, mea vita erit in luce:
Cum ipsis autem mortuis mortua jacebo.
Heu, heu, heu, heu,
Tremens metu, tremens pectus habeo.
Per meum vero corpus

P. ΧΟ. Φεῦ, φεῦ, ἔντρομον ὀρθίασιν τριχῶν ἔχω, ἔντρομον λογισμὸν ἔχω, διὰ τὴν ἐμὴν δὲ σάρκα

S. ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον. Τὸ β' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ γ' ὅμοιον τῷ α', ἀναπαίστων, οὐκ ἐκ σπονδείων ὡς ἐκεῖνο. Τὸ δ' τροχαϊκὸν ἰθυφαλλικὸν, ἐκ τριῶν χορείων. [Τὸ ε', ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου β', καὶ ἰάμβου· τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων.] Τὸ ζ' τροχαϊκὸν πενθημιμερὲς, τοῦ α' ποδὸς χορείου, εἰ δὲ βούλει, παιωνικὸν ἡμιόλιον. Τὸ η' ἀντισπαστικὸν μονόμετρον, ὑπερκατάληκτον. Τὸ θ' ὅμοιον, ἀντισπαστικὸν ἡμιόλιον. Τὸ ι', καὶ ια', ὅμοια τῷ ζ'. Τὸ ιβ' ἰαμβικὸν δίμετρον, ἀκατάληκτον. Τὸ ιγ' ὅμοιον, καταληκτικὸν ἐφθημιμερές. τὸ ιδ' ἰαμβικὸν ὅμοιον πενθημιμερές. Τὸ ιε' ὅμοιον δίμετρον βραχυκατάληκτον, τοῦ α' ποδὸς χορείου, τοῦ δὲ β' ἀναπαίστου. ἑξῆς δὲ μετὰ τὰ κῶλα τῆς ἀντιστροφῆς ἐν ἐκθέσει σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν δύο. ἐχρήσατο δὲ τούτῳ διὰ τὴν σπουδὴν τοῦ Κρέοντος, καὶ τοῦ δρόμου· ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς ὡσαύτως, τοῦ δὲ συστήματος κόρωνις. Totum hoc de metro ex MS. Baroc. 74. 1299. Τρομερὰν φρίκαν] Φρίκην τρόμου παραιτίαν. καὶ Πίνδαρος, "Φρίσσοντας ὄμβρους," τοὺς φρίσσειν ποιοῦντας. Τρομερὰν] Τρόμου γεννητικὴν, καὶ τρομοποιὸν φόβον. Ἄλλως. Τῇ φρικὶ τρομερὰν ἔχω τὴν φρένα. 1300. Διὰ σάρκα] Ἀντὶ τοῦ διὰ

quid simile, monet Brunck. ad Eur. Orest. 296.

με φθάσω D. *Beck.*

1296. Post hunc sequebatur versus in Ald. male repetitus ex 990.

ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.

Omisit Grotius, neque habent Cant. Flor. K. Leid. sec. Unus Parisiensium apud Musgravium in margine addit: ἐν πολλοῖς οὐ φέρεται. *Por.*

1296. οὑμὸς D. *Beck.*

1296. Post hunc versum reperitur in editis plerisque v. 990. Omittunt Grotius et Valckenærius, quorum judicium egregie confirmat MS. B. qui in margine adscriptum habet, ἐν πολλοῖς οὐ φέρεται. *Musg.*

Versus Ἢν δ' ὑστερήσῃς huic loco non convenit, deest quoque in Leid. 2. Flor. et Parisinis Grot. Supra v. 990. recte legitur; Sed hic quomodo tandem Antigonæ *relictæ* mortem potuisset minari mater? Suspicor, eum histrionibus deberi, quibus, dum superiora recordabantur, insciis exciderit. Scenici enim actores non pauca immutarunt.—*Valck.*

Ἢν δ' ὑστ, etc.] Hic versus, qui in D. membr. et Aug. cod. legitur, a Brunck. exemplum Valck. et Musgr. secuto ejectus est ut male ex 990. repetitus. *Beck.*

1298. αἶ quater Ald. ter Cant. bis C. L. Leid. pr. contra αἶ ἒ præponit Ald. 1300. Ibi αἶ quater Cant. ἒ ἒ quidam, sed omittunt K. Flor. et fortasse alii. *Por.*

Kingius scholia secutus pro colis 14. dedit 15. Apud eum, ut et Valck. Αἶ, αἶ, αἶ, αἶ,

Ἔλεος, ἔλεος, ἔμολε
Ματέρος δειλαίας,
Δίδυμα τέκεα, πότερος ἄρα
Πότερον αἱμάξει,
Ἰώ μοι πόνων,
Ἰὼ Ζεῦ, ἰὼ Γᾶ,
Ὁμογενῆ δέραν,

Miseratio, miseratio, venit
Matris miseræ.
Duo filii, uter nempe
Utrum cruentabit,
Hei mihi propter labores,
O Jupiter, o Tellus,
Cognatam cervicem,

P. ἔρχεται ἔλεος τῆς δειλαίας μητρὸς, τουτέστιν ἐλεῶ τὴν δειλαίαν μητέρα, διὰ τοὺς δύο παῖδας, ποῖος τῶν ἀδελφῶν θανατώσει τὸν ἕτερον. (φεῦ μοι τῶν παρόντων πόνων) ὦ Ζεῦ, ὦ γῆ, σὺν

S. σαρκός. ὡς τὸ, "—— διά τ' ἔντεα καὶ μέλαν αἷμα." 1301. Ἔλεος] Ἐλεός με ἐπῆλθε καὶ οἶκτος ὁ περὶ τῆς Ἰοκάστης, διὰ τὰ δίδυμα τέκνα. 1303. Δίδυμα τέκεα] Τοῦτό τινες σολοικισμὸν ἡγήσαντο, ἔδει γὰρ εἰπεῖν, διδύμων τεκέων "πότερον ἄρα ποῖον αἱμάξει" νῦν οὐδὲ πρὸς τὸ ῥητὸν ἀπήντησεν, ἀλλά πρὸς τὸ νοητόν." Πότερος ἄρα] Ὁποῖος ἀπὸ τῶν δύο ποῖον αἱμάξει τὴν ὁμογενῆ δέρην. τὸ ἑξῆς, πότερος ἄρα πότερον αἱμάξει τὴν ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν, δι' ἀσπίδων, δι' αἱμάτων. Πότερος ἄρα πότερον αἱμάξει] Πότερος ἄρα πότερον αἱμάξει διὰ πολέμου, διὰ φόνου, τὸ συγγενὲς λέγω σῶμα, τὴν συγγενῆ ψυχήν. ὁμογενῆ γὰρ τοῖς ἀδελφοῖς τὰ σώματα καὶ αἱ ψυχαὶ τῶν ἀδελφῶν. θέλουσι οὖν αἱ τοῦ χοροῦ αὐξῆσαι τὸ πάθος ταῦτα ἐπάγουσιν. ὡς εἰ ἔλεγον, ὁπότερος ἂν αὐτῶν τὸν

primum est colon; in Leid. 1. bis tantum hic αἶ, sed mox legebatur αἶ, αἶ, διὰ σάρκα —

Non nisi bis D. ponit αἶ, αἶ. Mox idem cod. φρίκα, et v. sequ. ἔχων. Brunck. ita disposuit et scripsit:

Αἶ, αἶ, αἶ, αἶ.
Τρομερὰν φρίκα, τρ. φρ. ἴχω. *Beck.*

φρίκα] Ita recte Valckenærius ex duobus Leidensibus. Consentiunt Ask. et quinque Parisienses. Editi reliqui φρίκαν. *Musg.*

1299. φρίκαν Ald. Sed φρίκα MSS. pene omnes. Φρίκη τρέμουσαν e Troad. 1033. comparat Valckenærius. *Por.*

In Leid. uno voci φρίκα superscriptum φόβον, sed etiam ἔντρομον ὀρθίασιν τριχῶν ἔχω, ἤγουν ἔμφοβον, quæ vulgatam respiciunt lectionem. Dicitur quidem τρομερὰ φρίκα, sed Euripidi usitatum est τρέμειν φρίκᾳ. v. Valcken. *Beck.*

1300. Voces Αἶ αἶ, desunt in Flor.—

Mox ματέρος etiam Leid. 2. Uterque vero Leid. Διὰ σάρκα δ' ἐμὰν, et suprascriptum διὰ σαρκὸς ἐμῆς.

Αἶ αἶ, omisit Br., habet D. *Beck.*

διὰ] Huic versui in Aldina præfigitur αἶ, ἒ, in MSS. Bodl. αἶ, αἶ. *Musg.*

1301. s. Conjungit D. in unum versum. Br. exhibet:

ἔλ. ἔλ. ἔμολε
ματέρος δειλ. *Beck.*

1302. ματρὸς Ald. et 1303. τέκνα, Variant codices. *Por.*

1303. a. Sensus: *duorum filiorum uter nempe cruentabit alterum.* Duplicem in his solœcismum fingebant grammatici, alterum, in nomin. Δίδυμα τέκεα, in πότερος alterum pro quo Flor. πότερον. Sed πότερος non genus nominis τέκεα, sed significationem, respicit, more satis usitato (de quo copiose V.), et nominativus non solum in distributione pro genit. ponitur, sed et in similibus loquendi formis, in

Ὁμογενῆ ψυχὰν,
Δι' ἀσπίδων, δι' αἱμάτων;
Τάλαιν' ἐγὼ, τάλαινα,
Πάτερον ἄρα νέκυν
Ὀλόμενον ἰαχήσω;
Φεῦ δᾶ, φεῦ δᾶ, ἀντιστροφή.
ἴδυμοι θῆρες, φόνιαι ψυχαὶ,

Cognatum animum,
Per clypeos, per cædes?
Misera ego, misera,
Quemnam igitur mortuum
Extinctum lugebo?
O terra, o terra,
geminæ feræ, sanguineæ animæ,

φῶν νεκρὸν προκείμενον ἰαχήσω καὶ θρηνήσω ἡ τάλαινα ἐγὼ διὰ φόνου καὶ πολέμου ... δέρην καὶ κεφαλὴν, συγγενικὴν ψυχήν; —— Φεῦ οὖν ὦ γῆ, διπλοῖ θῆρες, ψυχαὶ ... μάξη, οὐ τὸν τυχόντα ἄνθρωπον αἱμάξει, ἀλλ' ἀδελφὸν, οὗ τὸ σῶμα καὶ ἡ γενῆ εἰσὶν αὐτῷ, τὸ δὲ, ἰώ μοι πόνων, καὶ, ἰὼ Ζεῦ, καὶ, ἰὼ γᾶ, διὰ μέσου. ... ογενῆ ψυχὰν] Συγγενεῖς γὰρ ὁ Ἐτεοκλῆς καὶ Πολυνείκης τῷ χορῷ, ὡς Φοίνικες ... θεν ἢ τὸ, ὁμογενῆ δέρην, καὶ ὁμογενῆ ψυχὴν, ἤτοι ἀδελφικὴν, ἵνα σύνταξις πρὸς ... ς ἄρα πότερον αἱμάξει; 1311. Πότερον ἄρα] Ποῖον ἄρα τῶν νεκρῶν ἀπολλύ... ... 1313. Φεῦ δᾶ, φεῦ δᾶ] Τὸ δᾶ, ἀντὶ τοῦ γῆ, Δωρικῶς. Φεῦ δᾶ] Φεῦ γῆ, ... Ἀττικῶς πλεονάζει ὡς ἐπὶ τοῦ ἦσθα καὶ φῆσθα. Ἄλλως. Οἱ μὲν ὡς ἐν μέρος ... τὸ φεῦ δᾶ, οἱ δὲ, ὡς ἐν παρολκῇ τοῦ δᾶ, ἔνιοι δὲ, ἀντὶ τοῦ φεῦ δή· τινὲς δὲ, φεῦ γῆ, κατὰ πάθος μεταβληθέντος τοῦ Γ εἰς τὸ Δ, ὡς ἐν τῷ Δημήτηρ πηγὴ,

et δὲ casui recto non subjun- Valck.
... D. et membr. unde Br. edit. Mox D. ἄρα, et sequentem ...c adjungit. *Beck.*
Ita MSS. Bodl. Leid. Flor. Lib. P. Ed. Ald. τέκνα, ut et ...xtus. *Musg.*
... αἱμάξει] Etsi metra non male sive ἠλθέτην, sive ἠλυθέτην, in ... legas, majorem ἀκρίβειαν fa... ab αἱματίζω (Aristot. Hist. ... c. 7.) cui ad amussim respon... ...την. Verbum αἱματίζω habet Suppl. 670. *Musg.*
... bis ponit D. Brunck. hunc ...isit, ita ut prior finiretur voca- *Beck.*
. In duo versus contrahit Beck-

... πόνων, Ἰὼ Ζεῦ, Ἰὼ γᾶ)
... δέραν.

Ex duobus colis tria effecit King. ὁμογενᾶ insolitum est. Attici dicunt εὐφυᾶ, sed ne Dorienses quidem εὐγενᾶ, aut ὁμογενᾶ, verum ὁμογενέα. In Leidd. Codd. ὁμογενῆ, sed forte tragicus in chorica cantilena peregrinam Phœnissarum pronunciationem exprimere voluit. cf. Schol. v. 308. *Valck.*

1307, 8. ὁμογενᾶ Ald. Sed hic Dorismus non obtinet, nisi ubi terminatio vocalem sequitur, ut supra 1266. εὐκλεᾶ. Recte igitur MSS. alii, ὁμογενῆ, alii levi errore, ὁμογενή. *Por.*

Ὁμογενῆ utroque loco D. atque ita Br. quoque e membr. reposuit. In D. uterque versus in unum contrahitur. *Beck.*

1309. Pro δι' αἱμάτων Reisk. conjicit δι' αἰγανῶν, aut αἰγανέων, hastis. *Beck.*

1310—1314. Ita disponit D.

Τάλ. ἐ. τ. πότ. ἄ. νέκυν
ὀλ. ἰαχ. φ. δ. φ. δᾶ
ἰδ. θ. φ. ψ. *Beck.*

Δορὶ παλλόμεναι,
Πέσεα πέσεα δάϊ'
Αὐτίχ' αἱμάξετον.
Τάλανες, ὅτι ποτὲ μονομάχον
Ἐπὶ φρέν' ἠλυθέτην.

Hasta sortientes,
Casus, casus hostiles,
Mox cruentabuntur.
Miseri, quod unquam singularis prælii
In cogitationem venerint.

P. φονικαὶ, ὁ Ἐτεοκλῆς, λέγω καὶ ὁ Πολυνείκης, κινούμενοι ἐπ' ἀλλήλους ἐν πολέμῳ, ὅσιν οὕπω αἱμάξουσι πτώματα πολεμικὰ, ἤγουν αὐτίκα πεσοῦνται ὑπ' ἀλλήλων σφαγέντες. διατί ἄρα

S. πηδή. παρὰ τὸ, τὸ ὕδωρ πηδᾷν ἄνω. 1315. Δορὶ παλλόμεναι] Ἀντὶ τοῦ τὸ δόρυ κατ' ἀλλήλων πάλλουσαι, ἢ ἐπὶ πόλεμον κινηθεῖσαι. 1316. Πέσεα] Τὰ πτώματα θέλει εἰπεῖν, ὅτι πεσόντες αἱμάξουσι τὰ σώματα. πέσεα οὖν ἀντὶ τοῦ πεσήματα, πτώματα. 1318. Τάλανες] Δυστυχεῖς εἰσὶν, ὅτι εἰς ἐνθύμησιν μονομαχίας ἦλθον. 1320. Βοᾷ βαρβάρῳ] Τῇ ἐμαυτῆς φησὶ τῇ βαρβάρῳ τὴν [ἐπιστένακτον βοὴν τῶν νεκρῶν. οἷον τὴν ἐπὶ τοῖς νεκροῖς σὺν στεναγμῷ προσφερομένην βοὴν μέλλουσαν τοῖς δάκρυσι θρηνήσω, τουτέστιν ἐπιμελῶς δακρύσασα θρηνήσω. 1322. Μελομέναν] Ἀντὶ τοῦ μέλουσαν, ἢ ἐπιμελουμένην τῶν νεκρῶν, καὶ θεραπεύουσαν τὰς τούτων ψυχάς. 1324. Σχεδὸν τύχα πέλας] Τὸ σχεδὸν καὶ τὸ πέλας

1311. Primas duas syllabas participii ὀλόμενον sequenti versui adjunxit Br. *Beck.*

1313. Φεῦ δᾶ etc.] Τὸ γᾶ rejeci, et δᾶ bis addidi, quod *Aldi* editio habebat et MS. C.C.C. et ipse *Scholiastes* ita legebat; licet per τὸ γᾶ explicet. Sed monendus est lector, quod nonnulli legunt: οὐ δᾶν, οὐ δᾶν, i. e. μὰ τὴν γῆν. Uti *Theocriti Scholiast.* ad Idyll. 4. quem vid. Et sic est *Chori* male ominantis sermo: — *Non, per terram, Non, inquam,* per terram, *Unum* duorum fratrum lugebis: sed simul uterque cadet. *Barnes.*

1304. Ita Beckius,

Φεῦ δᾶ, φεῦ δᾶ· δίδυμοι θῆρες.

δίδυμοι θῆρες ad sequentem versum retulit Br. *Beck.*

Ald. et Bas. 1. Φεῦ δὰ, Φεῦ δὰ, Bas. 2. et omnes usque ad Grot. Φεῦ γᾶ, φεῦ γᾶ, Grotius primus dedit φ. δᾶ, φ. δᾶ, ut et in Flor. atque Leidd. Lectio quorundam a Barn. memorata φεῦ δᾶν, φ. δᾶν est potius comparatio Theocritei illius ex Id. 4, 17. male intellecta. *Valck.*

1315. Heath. reddit: *hastilem sortem ducentes,* vel *ex hasta sortem ducentes.* *Beck.*

Δορὶ παλλόμεναι] Verto, ad mentem Heathii, *hasta sortientes.* Hesychius: παλλομένων, κληρουμένων, respiciens Hom. Il. Ο. v. 191. Non nolim tamen βαλλόμεναι. *Musg.*

1316. s. πέσσεα, πέσσεα δάϊ' αὐτ' ἀ. D. In ed. Br. δάϊα ad v. 1316. refertur. *Beck.*

1317. Reisk. Num ἀλλάξετον, *vos invicem trucidabitis? Beck.*

αἱμάξετον] Metrum postulat αἱμάξεσθον. *Musg.*

1318. τί pro ὅτι MSS. plerique. *Por.* Pro ὅτι ποτὲ D. τι ποτε. *Beck.*

1319. ἐπηλυθέτην Ald. ἠλυθέτην quidam MSS. cum Grotio, alii ἠλθέτην, alii ἐπηλθέτην. Nimis curiose Musgravius in strophico legi αἱματιεῖ. Frustra quoque 1317. mavult αἱμάξεσθον. Δειλαίας enim 1302. secundam corripit, ut aliquando apud Aristophanem etiam in senariis. *Por.*

Olim ἐπηλυθέτην, King. e Codd. suis recepit ἠλθέτην, in not. vero metri causa conjicit ἔλθητον. Perperam, judice Heath. qui monet, ὅτι, notione causali, ut hic, usurpatum, respuere conjunctivum, et metrum recte se habere; modo enim uterque versus sit trochæus, nihil referre, an pes pedi exacte respondeat. Grot. e Paris. recepit ἠλυθέτην, eum sequitur Valck. Ap. Eustath. ad Il. Ο. p. 1026, 43. μ, ἰ. φ.

Βοᾷ βαρβάρῳ
Στενακτὰν ἰακχὰν
Μελομέναν νεκροῖς
Δάκρυσι θρηνήσω.
Σχεδὸν τύχα, πέλας φόνος.

Vociferatione barbara
Lugubrem sonum
Gratum mortuis,
Cum lacrymis lugens edam,
Prope fortuna, prope cædem *est*,

τάλανες ἐπὶ φρένα μονομάχον; ἤγουν διατί μονομαχεῖν ἠβουλήθησαν; θρηνήσω τοῖς ἐν δάκρυσι καὶ ἐν βοῇ βαρβαρικῇ, θρῆνον ἐκ στεναγμοῦ γινόμενον, διὰ φροντίδος ζῶσιν. ἡ τύχη καὶ ἡ εἱμαρμένη τοῦ φόνου τῶν ἀδελφῶν ἐγγύς ἐστιν, ἡ παροῦσα ἀλλήλου τὸ αὐτό. ἡ κατ' αὐτοὺς τύχη τοῦ φόνου πλησίον ἐστὶ, τουτέστιν * ὅσον νσόμεθα, πῶς ἐκβήσεται αὐτοῖς τὸ μονομάχιον. Σχεδὸν τύχα πέλας φόνου] Τὸ

ο ὅσον οὔπω in Aug. est ὅσον οὐδέπω. In eodem cod. in fine paginæ hæc de ori partibus: ὁ χορὸς διὰ τεσσάρων· διὰ τὸ καταλλάσσειν τοὺς πάσχοντας (scribe ς διαφερομένους, *dissidentes inter se*, Valck.) διὰ τὸ παραμυθεῖσθαι τοὺς πάσχον-· διὰ τὸ ἀναγγελεῖν (ἀναγγέλλειν) τοὺς ἐπερχομένους ἐκεῖσε· καὶ διὰ τὸ μὴ καταλεί-θαι διάκενον τὸ ἀκροατήριον. *Beck.*

pserat forte ἠλθέτην, ut in Leid. μονομάχων εἰς φρέν' ἐπηλθέτην. Leid. 2. τί ποτε. — αἱμάξετον, edit, utrumvis admittit signifi-*uentabitis* et *cruentabunt*, sed ntum alterum *venerunt*.
ἠλθέτην D. et sic Br. quoque embr. *Beck.*
. Ita dispositos et scriptos ex-

ρβάρων. ἰαχὰν στενακτὰν
έναν νεκρῶν δάκρυσι θρην.

). duo fecit Br.:

ρβάρῳ
ακχὰν (sic cum Musgr. scrip-
.

ακχὰν pro ἰαχὰν Musgravius. ponunt multi MSS. *Por.*
ενακτὰν, quod pro vulgato στεν. ecepit King., erat et in Flor. ac iisdem Μελομέναν νεκρῶν, *mor-em, mortuos honestantem*; quod ck. et Abresch. Auct. Dil. Th. ελομ. pro vulg. Μελλομέναν jam tuit. Quod ad primum attinet, : "Si veterem scripturam re-vocamus, Στενακτὰν ἰαχὴν, versus antithetico probe respondebit. Uterque enim antispasticus erit ex antispasto et spondeo, aut iambo. Juxta lectionem vero King. antispasto opponitur aut ditrochæus, aut ionicus minor (secundam enim corripit τὸ ἰαχὴ), quorum neutrum per leges metricas licet. *Beck.*

ἰαχὰν] Lege ob metrum ἰακχὰν, et vid. ad Iph. Aul. v. 1045. *Musg.*

1322. μελλομέναν Ald. mutavit ex MSS. Grotius. νεκρῶν major pars codicum, probante Valckenærio. *Por.*

Μελομέναν] Ita MS. Olim μελλομέναν. *Barnes.*

1324. φόνου Ald. et MSS. nisi quod φόνος, ut correxit Vir doctus apud Barnesium, habet Flor. apud Burtonum, is nempe MS. quem vocat Voss. 2. Contractam vocem scribit J. ut pro utrovis sumi possit. *Por.*

Σχεδὸν etc.] Hunc versum *Scaliger* sic legit: Σχεδὸν τύχα, πέλας φόνος. Sed hoc contra MSS. fidem, quæ confirmat libb. impressorum in hac re fidem, et *Schol.* MS. σχεδὸν] ἤγουν πλησίον· πέλας τύχη τοῦ φόνου] ἤγουν ἡ συντυχία τοῦ φόνου, ἀντὶ τοῦ ὁ φόνος περιφραστικῶς. *Barnes.*

Κρινεῖ φάος τὸ μέλλον.
Ἄποτμος, ἄποτμος ὁ
Φόνος, ἕνεκεν Ἐριννύων.
Ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
Πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας γόους.

Decernet autem ensis eventum.
Infelix, infelix *est*
Illa cædes propter Furias.
Sed enim Creontem video hunc huc tristem
Ad ædes venientem, missa faciam præsentia verba.

P. ἡμέρα δηλώσει τὸ μέλλον συμβήσεσθαι τούτοις. ὁ φόνος τῶν ἀδελφῶν οὐκ ἐν αἰσθέντι πολέμῳ γινόμενος οὐκ εὐτυχής ἐστι, ἀλλὰ δυστυχὴς, ὡς ἐξ Ἐριννύων συμβεβηκὼς, ἃς ἐπήγαγεν Οἰδίπους διὰ τὰς ἀράς. Ἀλλὰ παύσω τοὺς παρεστῶτας θρήνους, ὁρῶ γὰρ Κρέοντα τόνδε ἐρχόμενον δεῦρο πρὸς τοὺς δόμους κατηφῆ. ———

S. σχεδὸν καὶ τὸ πέλας ἐκ παραλλήλου, ἢ τὸ σχεδὸν ἀντὶ τοῦ ἄντικρυς· ἵν' ᾖ οὕτως· ὁ εἱμαρμένος τοῖς ἀδελφοῖς φόνος ἄντικρυς πλησίον ἐστίν. 1325. Κρινεῖ φάος] Τὸ σήμερον δηλονότι, ἡ παρεστῶσα ἡμέρα διδάξει τὸ πέρας, καὶ τὸ μέλλον, ἤγουν τὸ ἀποβησόμενον. "Ἄλλως. "Ἡ παρεστῶσα ἡμέρα διακρινεῖ τὸ μέλλον." 1327. Ἕνεκ' Ἐριννύων] Ὡς τῶν Ἐριννύων ἐπιπεμπουσῶν τὰ φαῦλα τοῖς ἀνθρώποις. ἢ διὰ τὰς ἀρὰς τοῦ Οἰδίποδος, καὶ τὰς ἐπικλήους Ἐριννῦς. 1328. Συννεφῆ] Στυγνὸν, κατηφῆ. 1329. Οἴμοι, τί δράσω] Ἵνα δόξῃ φιλόπολις ὁ Κρέων, καὶ μὴ μόνον τοῦ παιδὸς λόγον ποιεῖσθαι, φησὶ, τίνος ἄρξομαι θρῆνον ποιούμενος,

Lectionem a B. memoratam φόνος approbat V.

πέλας φόνος scripsit Br. et mox idem cum Barn. exhibuit κρινεῖ, quod et in D. atque membr. est. *Beck.*

1325. κρίνει Ald. Non metrum, sed sensus futurum postulat, quod ex MSS. dedit Grotius. *Por.*

Κρινεῖ] Ita *Æmil. Portus* legit, excluso κρίνει, idque metri ratione ductus, et recte. Versus enim hic, *ut ille ait*, respondere debet versui 12. τῆς στροφῆς. Sed τὸ κρίνω in præsenti priorem producit, in futuro corripit. Consentit Codex *Heinsio-Scaligerianus* et *Duportianus*, denique MS. illud jucundissimum. *Barnes.*

Κρινεῖ pro κρίνει metri causa dederat jam Grot. φάος et φέγγος leguntur de die. v. Valck. et Reisk. *Beck.*

κρίνει φάος τὸ μέλλον] Lego: κρινεῖ δ' ἄορ τὸ μέλλον. *ensis vero eventum dijudicabit.* *Musg.*

1326. s. Ita edidit Beckius,

Ἄποτμος, ἄποτμος ὁ φόνος,
Ἕνεκεν Ἐριννύων.

scripsit ita Brunckius:

ἄπ. ἄπ. ὁ.
φόνος ἕνεκ' Ἐριννύων.

ἕνεκ' Ἐρ. est e membr. *Beck.*

1327. ἕνεκ' codices plurimi, sed alterum metro convenientius. Ἐριννύων est trisyllabon, ut Iph. T. 938. *Por.*

Ad hunc versum ex sequente D. retulit verba: ἀλλὰ γὰρ Κρέοντα. *Beck.*

MSS. Bodleiani cum præbeant ἕνεκ', non ἕνεκεν, in mentem venit, auctorem forte dedisse:

Ἄποτμος, ἄποτμος ὁ
Στέφανος, ἕνεκ' Ἐριννύων.

Ἐριννύων] Coalescunt ultimæ duæ syllabæ, ut in δυοῖν Œd. Tyr. 648. *Musg.*

1328. Συννεφῆ] Recte *Scholiastes* per στυγνὸν et κατηφῆ exponit, a νέφος, nebula, quæ μεταφορικῶς *Vultui mæsto* attribuitur. Ita poëta noster in *Hippolyto* v. 172. de *Phædra*, animi ægritudinem turbato vultu exprimente: στυγνὸν δ' ὀφρύων νέφος αὔξεται.

ARGUMENTUM ACTUS QUINTI.

Actus hic ultimus maxime tragicus est; in eo enim Creon filium Menœceum amissum plorat: cui superveniens Nuntius Μονομαχίαν et cædes mutuas Polynicis et Eteoclis narrat; deinde interventum et Αὐτοφονίαν Jocastæ, fugamque et cædem Argivorum. Hinc tragica Antigonæ querela super morte fratrum matrisque, et lugubres de his cum patre Œdipo collocutiones. Creon, quem regni successorem Eteocles designarat, Œdipum in exsilium relegat, et Polynicis cadaver insepultum abjici jubet. Antigone adversus eum animose arguit de fratris sepultura, neque mortis intentatæ periculo territa, neque regii sponsi desiderio commota; sed paterni exsilii comes esse mavult, quam Creontis nurus. Œdipus filiæ generositatem laudat, et omnia sua mala in fatalem necessitatem rejicit.

ΚΡ. Οἴμοι, τί δράσω; πότερ' ἐμαυτὸν, ἢ πόλιν
Στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
Τοσοῦτον, ὥστε δι' Ἀχέροντος ἱέναι;

Cre. Heu mihi, quid agam? num meipsum, an vero urbem
Lugeam lacrymans, quam undique habet nubes
Talis, ut sit eundum per Acherontem?

S. τοῦ παιδὸς ἢ τῆς πόλεως; καίτοι εἰδὼς, ὅτι διὰ τὸν θάνατον τοῦ παιδὸς εὐτυχεῖ τὰ τῆς πόλεως. μικρὸν γὰρ ὕστερον εἰπὼν, Ἐμός τε γὰρ παῖς ὄλωλεν, ἐπελάθετο εἰπεῖν, πόλις τε. "Εἰς τὸ λυπεῖν μὲν διὰ πένθος ἐμμείνας, τῆς δὲ κολακείας ἀτελέστερον ἐάσας τὴν μνημήν." 1330. Οἴμοι τί δράσω] Αἱ περίοδοι αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων κε'. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος. 1331. Πέριξ ἔχει] Ἀντὶ τοῦ περιέχει. Νέφος] Πλῆθος τῶν πολεμίων. 1332. Δι' Ἀχέροντος] Δι' ἀπωλείας. Ἀχέρων γὰρ ποταμὸς ἐν

Sic et *Horatius*: Deme supercilio nubem. Vid. *P. Victorii* Variar. Lection. l. 16. c. 14. *Barnes.*

1329. λόγους Ald. sed plerique omnes MSS. γόους. Eadem variatio Orest. 1021. *Por.*

Valcken. malebat ob usum Eurip. Ἀλλὰ μὴν Κρέοντα —. defendit et illustrat usum partt. Ἀλλὰ γὰρ Abresch. ad Æsch. II. p. 112. Vocab. συννεφὴς qui illustrarunt, idem V. monuit.

Pro λόγους Brunck. e membr. reposuit γόους. *Beck.*

γόους] Ita MSS. omn. et Lib. P. Ed. Ald. λόγους, quod male hic remansit. *Musg.*

1330. Eadem fere verba sunt ap. Soph. Œd. Col. 1250. in qua tragœdia et alia dentur Euripideis Phœn. similia. Sophocles plura ex aliis suffuratus esse dicitur. v. Valcken.

πότερον D. *Beck.*

1332. τοιοῦτον Ald. τοιοῦτο quædam edd. et Grot. τοσοῦτον reposuit Valckenærius ex Leid. sec. ut habent quoque Cant. M. Scal. lib. P. In fine versus ἰέναι tamdiu incorrectum mansisse miror, ἱέναι e lib. P. primus, et vereor ne solus, restituit Musgravius. Idem notavit Scaliger ex MS. ut videtur, sic enim C. J. L. Eodem errore ediderat Aldus ἰέναι supra 1262. *Por.*

Τοιοῦτον] Pro τοιοῦτο, præsertim, ut hic, ante vocalem. Vide ad *Troad.* v. 980. *Barnes.*

Br. ad Æsch. S. C. Th. 490. ubi de forma Ἐρινύες agit, hic quoque scribi vult, φόνος ἕνεκ' Ἐρινύων. *Beck.*

Τοσοῦτον] Ita Lib. P. et Leidensium unus. Ald. τοιοῦτον.

ἱέναι] Ita Lib. P. ἱέναι ab ἵημι primam producit (supra v. 1244) non item, quod habet Aldina, ἰέναι, ab εἶμι, eo. *Musg.*

1332. s. Respicit huc Seneca Ph. 394 s. *Vide, ut atra nubes pulvere abscondat diem, fumoque similes campus in cœlum erigat Nebulas. Valck.*

Ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανὼν,
Τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί.
Ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν
Αὐτοσφαγῆ δύστηνος ἐκόμισ' ἐν χεροῖν.
Βοᾷ δὲ δῶμα πᾶν· ἐγὼ δ' ἥκω μέτα

Meus enim filius pro patria mortuus periit,
Nobile nomen consecutus: sed mihi molestum.
Quem modo rupibus ex draconteis sublatum,
Propria cæde confectum, miser tuli in manibus:
Vociferatur autem domus tota. Ego vero venio vocaturus

P. ΚΡΕ. Θρηνεῖ δὲ ὁ ἐμὸς οἶκος πᾶς, ἀντὶ τοῦ πάντες οἱ ἐν τῷ οἴκῳ θρηνοῦσιν. ἐγὼ δὲ ὁ γέρων μεθήκω, ἤγουν μετέρχομαι, ζητῶ, τὴν ἐμὴν ἀδελφὴν τὴν γραῖαν τὴν Ἰοκάστην, ὅπως—

S. ᾄδου, ἀντὶ τοῦ διὰ θανάτου. 1333. Ἐμός τε γὰρ παῖς] Εἰπὼν, "πότερον ἐμαυτὸν ἢ τὴν πόλιν θρηνήσω; καὶ τὴν αἰτίαν εὐθὺς ἀποδεδωκὼς, δι' ἣν ζητεῖ τὴν πόλιν θρηνεῖν, ὅτι περιέχει αὐτὴν πλῆθος πολεμίων, περὶ ἑαυτοῦ δὲ οὐδὲν αὐτίκα εἰπὼν, ἐπαναλαμβάνει ὕστερον καὶ ἀποδίδωσι τὴν αἰτίαν, καὶ φησὶ, καὶ γὰρ ὁ ἐμὸς παῖς ὄλωλεν ὑπὲρ τῆς γῆς ἀποθανών. 1334. Ἀνιαρὸν] Ἀνιαρὸν, τὸ λύπην ἔχον, καὶ λυπηρὸν ὁμοίως καὶ ἀργαλέον. 1335. Κρημνῶν ἐκ δρακοντείων.] Ὡς τοῦ Μενοικέως παρὰ τὸν τάφον, ἔνθα ἦν ὁ δράκων, κατακρημνίσαν-

1333. In D.: ἐμός τε γὰρ παῖς ὄλωλ' ὑπὲρ γῆς θανών. *Beck.*

1334. Nomen ἀνία, vel ἀνίη, plerumque penultimam producit, aliquando corripit, ut in quatuor exemplis a Ruhnkenio Epist. Crit. II. p. 276. adductis. Quibus addere potuerat Hermesianact. apud Athenæum XIII. p. 599. B. ab ipso citatum p. 298. Theognid. 344. 870. Sappho apud Brunck. Analect. I. p. 54. Pindar. N. I. 81. Verbum ἀνιάω, vel ἀνιάζω apud Epicos Poëtas secundam plerumque producit, ut et in Sophocl. Antig. 319. Verbum ἀνιῶ apud Aristophanem penultimam ter corripit, semel producit Eq. 348. Corripitur etiam ab Antiphane apud Stobæum CXIV. p. 585, 36. CXX. p. 609, 21. (475. 501. Grot.) Semper, nisi fallor, secunda in ἀνιαρὸς ab Euripide et Aristophane corripitur, producitur a Sophocle Antig. 316. Sed ubique tertia syllaba longa est, quod tamen ignorasse videtur Grotius, dum in Stobæo suo C. p. 419. Orest. 224. citante, ἀνιαρὸν pro diiambo reliquit. *Por.*

Similia Stat. Th. 12, 76. ubi pro *numen flebile* Valck. reponit *nomen fl.* Idem hic mavult λαχὼν, fatetur tamen ipse, λαβεῖν et λαχεῖν κλέος s. εὔκλειαν dici. *Beck.*

1336. δύστηνον Ald. δύστηνος magno consensu MSS. et sic edidit Kingius. *Por.*

δύστηνος D. membr. atque ita Br. quoque edidit. *Beck.*

King. e 2. Codd. quibus accedunt Leidd. δύστηνος pro δύστηνον. pater enim erat δύστηνος, non filius. *Valck.*

1537, 8. Mendosissime Ald. ἥκω μεταστέλλων ἀδελφὴν Ἰοκάστην. γραῖαν primus addidit Victorius, locum citans V. L. X. 20. deinde Grotius, uterque ex MSS. ut liquet ex aliorum collatione. Γέρων quoque codices multi. Post βοᾷ mavult τε pro δὲ Valckenærius. *Por.*

1337. Valck. conjicit Βοᾷ δὲ δῶμα πᾶν, ut cohæreant hæc cum verbis ἐμός τε γὰρ παῖς v. 1333. Ædibus et infra (1363.) sensus tribuitur, qua in re imitatur Æschylum, v. Longin. π. ὕ. 15. 13. *Beck.*

1338. Γέρων ἀδελφὴν γραῖαν, Ἰοκάστην, ὅπως] Hic versus ita se prius habebat: —στέλλων ἀδελφὴν Ἰοκάστην ὅπως, magna et aperta lacuna, quam nunc ex MS. integerrimo optimoque ita restituimus; et tamen idem illud nobile MS. legit pro στέλλων, γέρων, ita: ἐγὼ δ' ἥκω μέτα (pro μεθήκω, hoc est μετέρχομαι) Γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως, etc. *Id est*—Ego vero jam quæro senex *ipse* sororem anum etc. Idem post v. 1458. Γραῖάν τε μητέρα de *Jocasta* dicit. Et sane *Petrus Victorius* in Var. Lect. l. 10. c. 20. γραῖαν in hoc versu citando legit. *Canterus* tamen,

Γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
Λούσῃ προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
Τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
Τιμὰς διδόντα, χθόνιον εὖ σέβειν θεόν.
ΧΟ. Βέβηκ' ἀδελφὴ σὴ δόμων ἔξω, Κρέον,

Senex sororem anum Jocasten, ut
Lavet, et componat filium meum, qui non vivit amplius.
Mortuis enim oportet non mortuum
Honores dando, pie colere Deum subterraneum.
Cho. Tua soror egressa est ex ædibus, o Creon,

ὸν ἐμὸν παῖδα οὐδαμῶς ὄντα λούσῃ καὶ προθῆται, ἤγουν κεκοσμημένον ἐπὶ θρόνῳ προδείξῃ. ῃ γὰρ τὸν οὐ τεθνηκότα τιμᾷν τὸν ὑποχθόνιον θεὸν, ἤγουν τὸν Ἅιδην, τιμὰς διδόντα τοῖς τεθανοῦσι. ΧΟ. Ἀπῆλθεν ἡ ἀδελφὴ ἡ σὴ, Κρέον, ἔξω δόμων, καὶ ἡ παρθένος Ἀντιγόνη

